ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

264 N
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΛΚΙΔΟΣ
ΑΡΙΘ. ΤΑΞΙΝ. ΑΡΕ 5790
ΑΡΙΘ. ΕΙΣΑΓ.

# Η ΑΓΙΑ
## ΚΑΙ
# ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ

ΠΕΡΙΕΧΟΥΣΑ

**ΤΑΣ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΝΥΜΦΙΩΝ,**

ΤΩΝ ΑΓΙΩΝ ΠΑΘΩΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ,

ΤΟΥ ΟΡΘΡΟΥ, ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΚΑΙ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

ΤΗΣ ΜΕΓΑΛΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ,

ΚΑΤΑΡΤΙΣΘΕΙΣΑ

ΚΕΛΕΥΣΕΙ ΤΗΣ Α. Θ. Π. ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

**ΚΥΡΙΟΥ Κ. ΙΩΑΚΕΙΜ ΤΟΥ Γ΄.**

ΠΑΡΑ

ΝΙΚΟΔΗΜΟΥ Π. Γ. ΝΕΟΚΛΕΟΥΣ
ΜΕΓΑΛΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

ΥΠΟΚΑΤΑΣΤΗΜΑ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ ΤΟΥ ΕΝ ΚΩΝ/ΠΟΛΕΙ ΒΙΒΛΙΕΚΔΟΤΙΚΟΥ ΚΑΤΑΣΤΗΜΑΤΟΣ Π. ΑΓΓΕΛΙΔΟΥ & ΣΑΣ
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΛΚΙΔΟΣ ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧ. ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1906

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

# ΕΚΘΕΣΙΣ

## ΤΟΥ Μ. ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΝΙΚΟΔΗΜΟΥ

**Τὴν Ὑμετέραν Θειοτάτην Παναγιότητα βαθυσεβάστως προσκυνῶν εὐλαβῶς κατασπάζομαι τὴν παναγίαν Αὐτῆς δεξιάν.**

Εὐπειθῶς ὑπακούσας, Παναγιώτατε Δέσποτα, τῇ σεπτῇ ἐπιταγῇ καὶ ἀξιώσει τῆς Ὑμετέρας Θειοτάτης καὶ προσκυνητῆς μοι Παναγιότητος, ὅπως καταρτίσω τεῦχος, περιέχον πλήρεις τὰς ἱερὰς ἀκολουθίας τῆς ἁγίας καὶ μεγάλης Ἑβδομάδος τῶν πανσέπτων Παθῶν καὶ τῆς λαμπροφόρου Ἀναστάσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς χρῆσιν πάντων μὲν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, ἰδίᾳ δὲ τῶν ἕνεκα διαφόρων λόγων μακρὰν τῶν ὁμοθρήσκων αὐτῶν διατελούντων κατὰ τὰς ἁγίας ταύτας ἡμέρας καὶ ἐκκλησιαστικῶν βιβλίων ἐστερημένων, προθύμως πάνυ ἀνέλαβον τὸ ἔργον, ἀρωγοὺς ἔχων τὰς παναγίας εὐχὰς καὶ εὐλογίας τῆς Ὑμετέρας Θειοτάτης Παναγιότητος· ὅπως δὲ καταστήσω τελειότερον τὸ ἀνατεθέν μοι ἔργον, ἐκ διαφόρων λειτουργικῶν βιβλίων ἀρχαίων τε καὶ νεωτέρων ἠρύσθην, πᾶν ὅ,τι πρὸς τοῦτο ὑπῆρχέ μοι ἀναγκαῖον, προσέθηκα τυπικὰς διατάξεις ἔνθα ἐθεώρησα αὐτὰς ἀπαραιτήτους πρὸς ἄρσιν ἀποριῶν, ἐν ὑποσημειώσεσι δὲ ἐξέθηκα, ἐν οἰκείῳ ἑκάστοτε τόπῳ, τὴν ἐπικρατοῦσαν κατὰ τὴν ἁγίαν καὶ μεγάλην ἑβδομάδα ἐν τῇ Μ. τοῦ Χριστοῦ Ἐκκλησίᾳ τάξιν μεθ' ἁπασῶν τῶν λεπτομερειῶν αὐτῆς, ὡς χρησιμεύουσαν πρὸς ὁδηγίαν τῶν ἰδιαιτέρων διατυπώσεων καὶ τήρησιν τῆς πρεπούσης τάξεως ἐν ταῖς λοιπαῖς ἱεραῖς Ἐκκλησίαις, χοροστατοῦντος ἀρχιερέως.

Ἤδη δὲ, Παναγιώτατε Δέσποτα, συντετελεσμένον τὸ ταπεινόν μου ἔργον εὐσεβάστως ὑποβάλλων τῇ Ὑμετέρᾳ Θειοτάτῃ καὶ προσκυνητῇ μοι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΛΚΙΔΟΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Παναγιότητι, δικαιότατον ἡγοῦμαι, ὅπως προσενέγκω Αὐτῇ τοῦτο ὡς δεῖγμα τῆς ἐμῆς τελείας τῇ Ὑμετέρᾳ Θειοτάτῃ Παναγιότητι ἀφοσιώσεως καὶ τῆς βαθείας εὐγνωμοσύνης, ἀνθ᾽ ὧν παρ᾽ Αὐτῆς ἠξίωμαι πολλῶν καὶ μεγάλων εὐεργετημάτων.

Ἐν τοῖς Πατριαρχείοις, τῇ 1η ἰανουαρίου 1905.

Τῆς Ὑμετέρας Θειοτάτης
καὶ προσκυνητῆς μοι Παναγιότητος
εὐπειθὴς κατὰ πνεῦμα υἱὸς καὶ ταπεινὸς θεράπων
Μ. Ἀρχιμανδρίτης ΝΙΚΟΔΗΜΟΣ Π. Γ. ΝΕΟΚΛΗΣ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

# ΕΚΘΕΣΙΣ
## ΤΗΣ ΠΡΟΣ ΕΠΙΘΕΩΡΗΣΙΝ ΤΗΣ ΠΑΡΟΥΣΗΣ ΒΙΒΛΟΥ ΕΠΙΤΡΟΠΗΣ

**Παναγιώτατε καὶ Θειότατε Δέσποτα,**

Τὸ παρὰ τῆς Π. Κ. Ἐκκλησιαστικῆς Ἐπιτροπῆς παραπεμφθὲν ἡμῖν τοῖς εὐσεβάστως ὑποφαινομένοις, πρὸς ἐπιθεώρησιν, τεῦχος τὸ ἐπιγραφόμενον Μεγάλη Ἑβδομάς, καταρτισθὲν δὲ παρὰ τοῦ Μ. ἀρχιμανδρίτου Νικοδήμου, ἐν πολυώροις συνεδριάσεσιν ἐπισταμένως μελετήσαντες, εὕρομεν αὐτὸ κατὰ πάντα σύμφωνον τῇ τε ἀξιώσει τῆς Ὑμετέρας Θειοτάτης Παναγιότητος καὶ τῷ ἱερῷ σκοπῷ, δι᾽ ὃν κατηρτίσθη, ὡς περιέχον πλήρεις τὰς ἱερὰς ἀκολουθίας τῆς Ἁγίας καὶ Μεγάλης Ἑβδομάδος καὶ ὡς κατάλληλον πρὸς χρῆσιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, ἰδίᾳ δὲ τῶν ἐν τῇ ἀλλοδαπῇ, ἔνθα ὑπάρχει σπάνις ἐκκλησιαστικῶν βιβλίων. Πάσας δὲ τὰς ἐν αὐτῷ τυπικὰς διατάξεις εὕρομεν ἐν ἐκτάσει καὶ εὐλήπτως ἐκτεθειμένας καὶ συμφώνους τῷ τυπικῷ τῆς Μ. τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἐπιδοκιμάζοντες οὖν, Παναγιώτατε Δέσποτα, τὸ ἔργον τοῦ Π. Μ. Ἀρχιμανδρίτου καὶ τὴν πολλὴν αὐτοῦ φιλοπονίαν ἐκτιμῶντες, ὑποβάλλομεν αὐτὸ τῇ Ὑμετέρᾳ Θειοτάτῃ καὶ προσκυνητῇ ἡμῖν Παναγιότητι διὰ τὰ περαιτέρω.

Τῆς Ὑμετέρας Θειοτάτης
καὶ προσκυνητῆς ἡμῖν Παναγιότητος
ταπεινοὶ θεράποντες

Ὁ Μέγας Σύγκελλος ΓΡΗΓΟΡΙΟΣ
Ὁ Τοποτηρητὴς τῆς πρωτοψαλτείας ΑΡΙΣΤΕΙΔΗΣ ΝΙΚΟΛΑΪΔΗΣ
Ὁ Λαμπαδάριος τῆς Μ. τοῦ Χ. Ἐκκλησίας ΙΑΚΩΒΟΣ Ι. ΝΑΥΠΛΙΩΤΗΣ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

# ΕΚΘΕΣΙΣ

## ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΚΕΝΤΡ. ΕΚΚΛΗΣΙΑΣΙΚΗΣ ΕΠΙΤΡΟΠΗΣ

**Πανογιώεατε δέσποτα,**

Ἡ Π. Κ. Ἐκκλησιαστικὴ Ἐπιτροπὴ λαβοῦσα ὑπ᾽ ὄψιν τὴν ὑπ᾽ ἀριθ. 648 καὶ ἡμερ. 1 ἰανουαρίου ἔκθεσιν τοῦ Π. Μ. ἀρχιμ. κ. Νικοδήμου περὶ τῆς ὑπ᾽ αὐτοῦ καταρτισθείσης ἱερᾶς ἀκολουθίας τῆς ἁγίας καὶ Μεγάλης Ἑβδομάδος σεπτῇ κελεύσει τῆς Α. Θ. Παναγιότητος καὶ ταύτην παραπέμψασα πρὸς μελέτην καὶ ἐπιθεώρησιν εἰς ἰδίαν Ἐπιτροπὴν, ἀσπάζεται τὴν ὑπ᾽ αὐτῆς ὑποβληθεῖσαν κρίσιν καὶ ἐγκρίνουσα τὴν ὡς ἄνω ἱερὰν ἀκολουθίαν ὑποβάλλει ταύτην ἐπισυνημμένη τῇ παρούσῃ μετὰ τῶν σχετικῶν ἐγγράφων τῇ Ὑμ. Θ. Παναγιότητι διὰ τὰ περαιτέρω.

Ἐπὶ τούτοις δὲ διατελῶ βαθυσεβάστως

9 φεβρουαρίου 1905.

Η Π. Κ. ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΕΠΙΤΡΟΠΗ

Ὁ Πρόεδρος
† Ὁ Σερβίων καὶ Κοζάνης ΚΩΝΣΤΑΝΤΙΟΣ

Ὁ Γραμματεὺς
Ὁ Δευτερεύων ΒΕΝΙΑΜΙΝ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΕΓΚΡΙΣΙΣ

### ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ

---

† Ο ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΙΩΑΚΕΙΜ

**ΕΠΙΒΕΒΑΙΟΙ**

Ἡ ἱερὰ Σύνοδος κατὰ τὴν συνεδρίαν τῆς 10 φεβρουαρίου 1905, λαβοῦσα ὑπ᾽ ὄψιν τὴν ὑπ᾽ ἀριθμ. 904 καὶ χρονολογίαν 9 φεβρουαρίου ἰ. ἔ. ἔκθεσιν τῆς Κ. Π. Ἐκκλησ. Ἐπιτροπῆς περὶ ἐκδόσεως ἱερᾶς Ἀκολουθίας τῆς Μεγάλης Ἑβδομάδος πρὸς χρῆσιν τῶν εὐσεβῶν χριστιανῶν, ἐνέκρινε τὰ δι᾽ αὐτῆς ὑποβαλλόμενα καὶ ἔδοτο ἐντολήν, ἵνα ἐνεργηθῇ τὸ δέον πρὸς ἔκδοσιν τῆς περὶ ἧς ὁ λόγος ἱερᾶς Ἀκολουθίας τῆς Μεγάλης Ἑβδομάδος.

Ὅτι ἀκριβὲς ἀντίγραφον,
ἐκ τοῦ Γραφείου τῆς Ἱερᾶς Συνόδου,
τῇ 1 μαρτίου 1906

ὁ Ἀρχιγραμματεὺς
† Ἀρχιμ. ΑΘΑΝΑΣΙΟΣ ΠΙΠΕΡΑΣ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

# Η ΑΓΙΑ

## ΚΑΙ

# ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ

### ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

### ΕΝ ΤΩ ΟΡΘΡΩ

Ὁ ἱερεὺς περιτιθέμενος μέλαν ἐπιτραχήλιον πρὸ τῆς ἁγίας Τραπέζης ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας των αἰώνων. Ὁ χορός. Ἀμήν.

---

Ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τὸ ἑσπέρας τῆς Κυριακῆς τῶν Βαΐων σημαίνει περὶ τὴν ιβ'. Μετὰ ἡμίσειαν δ' ὥραν κατέρχεται ὁ Πατριάρχης εἰς τὸν ἱερὸν ναὸν καὶ ἵσταται εἰς τὸ παραθρόνιον, κρατῶν χαζράνιον. Λαβὼν δὲ καιρὸν μόνος ὁ Μ. Ἀρχιμανδρίτης ποιεῖ εὐλογητόν. Ὁ ἀναγνώστης ἱερεὺς ἱστάμενος ἀπέναντι τοῦ Πατριάρχου ἀναγινώσκει τὸ τρισάγιον ἐμμελῶς καὶ τοὺς πρὸ τοῦ ἑξαψάλμου δύο ψαλμούς· ἀρχομένου δὲ τοῦ πρώτου ψαλμοῦ ὁ Μ. Ἀρχιμανδρίτης ἐξέρχεται τῆς βορείου τοῦ ἱεροῦ πύλης, προπορευομένου λαμπαδούχου, ἐνδεδυμένος φελώνιον μετ' ἐπιτραχηλίου καὶ φέρων θυμιατὸν (κατζὶ) θυμιᾷ ἅπαντα τὸν λαὸν καὶ ἐπιστρέψας ἵσταται ἐνώπιον τῆς ὡραίας Πύλης καὶ ἐκφωνεῖ μετὰ τὸ δεύτερον τρισάγιον τό, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, ἤδη τοῦ ἀναγνώστου ἅμα τῇ ἀφίξει ἐκείνου συμπληρώσαντος τὸ Πάτερ ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ προεστώς : Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθὲ, τὰς ψυχὰς ἡμῶν.

Ὁ ἀναγνώστης τὸ Τρισάγιον :

Ἅγιος ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἐκ γ΄.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριὰς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης· Κύριε ἐλέησον ιβ΄. Δόξα καὶ νῦν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## ΨΑΛΜΟΣ 19.

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Δώη σοι Κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου. Νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ.

Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.

Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.

Κύριε, σῶσον τὸν βασιλέα· καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σοι.

## ΨΑΛΜΟΣ 20.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Ὅτε προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.

Ὅτι δῴης αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς, εἰς καιρὸν τοῦ προσώπου σου.

Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὰς, αἷς οὐ μὴ δύνωνται στῆναι.

Ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Δόξα καὶ νῦν. Τρισάγιον. Ὅτι σοῦ.

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα Πατρί.

Ο ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτόκιον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθὴ τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον ὀρθοδόξων πολιτείαν· σῶζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεὸν, μόνη εὐλογημένη.

Ὁ ἱερεύς. Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἐκφώνησις. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σὺ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός· Ἀμήν.

Ὁ ἀναγνώστης. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός· Ἀμήν.

Καὶ ὁ προεστὼς ἄρχεται τοῦ Ἑξαψάλμου.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Ἐκ γ'.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν μου. Ἐκ β'.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 3.

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καὶ πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

## ΨΑΛΜΟΣ 37.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.

Ὅτι εἶπω· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντάς με ἀδίκως.

Οἱ ἀνταποδίδοντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

## ΨΑΛΜΟΣ 62.

Ο Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς, τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς σου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ρομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα τρίς. Καὶ ἐξέρχεται ὁ ἱερεὺς ἐκ τοῦ Βήματος καὶ λέγει τὰς ἑωθινὰς εὐχὰς ἔμπροσθεν τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ μυστικῶς.

## ΨΑΛΜΟΣ 87.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ σκιᾷ θανάτου.

Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σὲ, Κύριε, ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; Ἢ οἱ νεκροὶ ἀναστήσονται καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ, ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

### Καὶ πάλιν

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 102.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀφ᾿ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Καὶ πάλιν

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## ΨΑΛΜΟΣ 142.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγω δοῦλός σού εἰμί.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Δίς.

Εἶτα

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Μετανοίας γ'.

Εἶτα συναπτὴ μεγάλη ὑπὸ τοῦ ἱερέως· μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλεται τὸ μέγα Ἀλληλουϊάριον δὶς καὶ τὸ μικρὸν δὶς μετὰ τῶν ὡρισμένων στίχων, ψαλλομένων τούτων συντόμως μὲν, ἀλλὰ κατὰ τὸν ἦχον τοῦ μεγάλου καὶ μικροῦ Ἀλληλουϊαρίου.

Στίχ. α'. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Ἀλληλούϊα γ'.

Στίχ. β'. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Ἀλληλούϊα γ'.

Στίχ. γ'. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Ἀλληλούϊα γ'.

Στίχ. δ'. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Ἀλληλούϊα γ'.

Εἶτα τὸ παρὸν τροπάριον δὶς μὲν ἀργῶς, ἅπαξ δὲ συντόμως.

Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Εἰς τὸ τέλος τοῦ πρώτου λέγομεν: προστασίαις τῶν Ἀσωμάτων, σῶσον ἡμᾶς.

Εἰς τὸ τοῦ δευτέρου συνάπτομεν τὸ χαρακτηριστικὸν τοῦ ἁγίου ἢ τῶν ἁγίων, ἐφ' οἷς ὁ ναὸς σεμνύνεται, λέγοντες: πρεσβείαις τοῦ ἁγίου (ἢ τῶν ἁγίων) σῶσον ἡμᾶς.

Καὶ εἰς τὸ τοῦ τρίτου: διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Εἶτα τὸ Ψαλτήριον(*) καὶ ἀκολούθως ψάλλονται τὰ τρία κατὰ σειρὰν Καθίσματα ἀργῶς, τὰ δύο ἀνὰ μίαν καὶ τὸ τρίτον δίς.

---

* Συνήθως παραλείπεται τὸ Ψαλτήριον τῆς ἡμέρας κατὰ τοὺς ὄρθρους τούτους, χάριν συντομίας, ἀναγινωσκόμενον ἰδιαιτέρως τὸ πρωῒ ὑπὸ ἱερέως

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Κάθισμα. Ἦχος α΄.
Τὸν τάφον σου Σωτήρ.

Τὰ πάθη τὰ σεπτὰ ἡ παροῦσα ἡμέρα, ὡς φῶτα σωστικά, ἀνατέλλει τῷ κόσμῳ· Χριστὸς γὰρ ἐπείγεται τοῦ παθεῖν ἀγαθότητι· ὁ τὰ σύμπαντα ἐν τῇ δρακὶ περιέχων καταδέχεται ἀναρτηθῆναι ἐν ξύλῳ, τοῦ σῶσαι τὸν ἄνθρωπον. (ἅπαξ).

Κάθισμα ὅμοιον.

Ἀόρατε κριτά, ἐν σαρκὶ πῶς ὡράθης, καὶ ἔρχει ὑπ' ἀνδρῶν παρανόμων κτανθῆναι, ἡμῶν τὸ κατάκριμα κατακρίνων τῷ πάθει σου. Ὅθεν αἴνεσιν, μεγαλωσύνην καὶ δόξαν ἀναπέμποντες τῇ ἐξουσίᾳ σου, Λόγε, συμφώνως προσφέρομεν. (ἅπαξ).

Ἕτερον Κάθισμα. Ἦχος πλ. δ΄.
Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν παθῶν τοῦ Κυρίου τὰς ἀπαρχὰς ἡ παροῦσα ἡμέρα λαμπροφορεῖ. Δεῦτε οὖν, φιλέορτοι, ὑπαντήσωμεν ᾄσμασιν· ὁ γὰρ Κτίστης ἔρχεται, σταυρὸν καταδέξασθαι, ἐτασμοὺς καὶ μάστιγας, Πιλάτῳ κρινόμενος· ὅθεν καὶ ἐκ δούλου ῥαπισθεὶς ἐπὶ κόρρης, τὰ πάντα προσίεται, ἵνα σώσῃ τὸν ἄνθρωπον. Διὰ τοῦτο βοήσωμεν· Φιλάνθρωπε Χριστὲ ὁ Θεός, τῶν πταισμάτων δώρησαι τὴν ἄφεσιν τοῖς προσκυνοῦσιν ἐν πίστει τὰ ἄχραντα πάθη σου. (δίς).

Καὶ εὐθὺς ὁ ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου κτλ. καὶ ἀναγινώσκει τὸ Εὐαγγέλιον.

**ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ** (Κεφ. ΚΑ΄. 18—43).

Τῷ καιρῷ ἐκείνῳ, ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν ἐπείνασε· Καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰμὴ φύλλα μόνον, καὶ λέγει αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται· καὶ πάντα, ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε. Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν, ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς λέγοντες· Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ, Ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον· οὐκ οἴδαμεν. Ἔφη αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τί δὲ ὑμῖν δοκεῖ; Ἄνθρωπός τις εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ εἶπε· τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου· ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε· καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως· ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγώ, κύριε· καὶ οὐκ ἀπῆλθε· τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; Λέγουσιν αὐτῷ· ὁ πρῶτος. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ. Ἄλλην παραβολὴν ἀκούσατε· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν· ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ· καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλισαν· πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως· ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου· οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ· καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος το ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, «λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;» διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

Καὶ εὐθύς, Δόξα σοι, Κύριε. Εἶτα ὁ Ν' Ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἁμαρτίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα τὰ ἑπόμενα Τριῴδια ἀνὰ γ' ἐν ἑκάστῃ Ὠδῇ· καὶ αὖθις οἱ αὐτοὶ Εἱρμοὶ ἀργῶς ὡς Καταβασίαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὠδὴ Α'. Ἦχος β'. Ὁ Εἱρμός.

» Τῷ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ
» προστάγματι, ἀναξηράναντι, καὶ πεζεῦσαι δι' αὐτῆς τὸν
» Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ
» δεδόξασται (δίς).

Δόξα.

Ἡ ἀπόρρητος, Λόγου Θεοῦ κατάβασις, ὅπερ Χριστὸς αὐτός ἐστι, Θεὸς καὶ ἄνθρωπος, τὸ Θεὸς οὐχ ἁρπαγμὸν, εἶναι ἡγησάμενος, ἐν τῷ μορφοῦσθαι δοῦλον, δεικνύει τοῖς μαθηταῖς· ἐνδόξως γὰρ δεδόξασται.

Καὶ νῦν.

Διακονῆσαι, αὐτὸς ἐλήλυθα, οὗ τὴν μορφὴν ὁ Πλαστουργὸς, ἑκὼν περίκειμαι, τῷ πτωχεύσαντι Ἀδὰμ, ὁ πλουτῶν θεότητι, θεῖναι ἐμήν τε αὐτοῦ ψυχὴν ἀντίλυτρον, ὁ ἀπαθὴς θεότητι.

Καταβασία. Τῷ τὴν ἄβατον. Εἶτα συναπτὴ μικρά. Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ βασιλεύς. Εἶτα τὸ Κοντάκιον.

Ἦχος πλ. δ'. Ὡς ἀπαρχάς.

Ὁ Ἰακὼβ ὠδύρετο τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς βασιλεὺς τιμώμενος· τῆς αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, αὐτεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.

Ὁ Οἶκος.

Ἐπὶ τῷ ὀδυρμῷ νῦν προσθήσωμεν ὀδυρμὸν, καὶ ἐκχέωμεν δάκρυα, μετὰ τοῦ Ἰακὼβ συγκοπτόμενοι, Ἰωσὴφ τὸν ἀοίδιμον καὶ σώφρονα, τὸν δουλωθέντα μὲν τῷ σώματι, τὴν ψυχὴν δὲ ἀδούλωτον συντηροῦντα, καὶ Αἰγύπτου παντὸς κυριεύσαντα· ὁ Θεὸς γὰρ παρέχει τοῖς δούλοις αὐτοῦ στέφος ἄφθαρτον.

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΛΚΙΔΟΣ ΔΗΜΟΣΙΑ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Τὸ Μηνολόγιον, εἶτα τὸ παρὸν Ὑπόμνημα.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ μνήμην ποιούμεθα τοῦ μακαρίου Ἰωσὴφ τοῦ παγκάλου, καὶ τῆς ὑπὸ τοῦ Κυρίου καταρασθείσης καὶ ξηρανθείσης συκῆς.

ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ ΠΑΓΚΑΛΟΝ ΙΩΣΗΦ

Σώφρων Ἰωσὴφ, δίκαιος κράτωρ ὤφθη
καὶ σιτοδότης· ὢ καλῶν θημωνία!

ΕΤΕΡΟΙ ΕΙΣ ΤΗΝ ΞΗΡΑΝΘΕΙΣΑΝ ΣΥΚΗΝ

Τὴν Συναγωγὴν, συκῆν Χριστὸς, Ἑβραίων,
καρπῶν ἄμοιρον πνευματικῶν εἰκάζων,
ἀρᾷ, ξηραίνει, ἧς φύγωμεν τὸ πάθος.

Ταῖς τοῦ παγκάλου Ἰωσὴφ πρεσβείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Ὠδὴ Η'. Ὁ Εἱρμός. (δίς).

» Ἔφριξε παίδων εὐαγῶν τὸ ὁμόστολον ψυχῆς ἄσπιλον » σῶμα, καὶ εἶξε τὸ τραφὲν ἐν ἀπείρῳ ὕλῃ ἀκάματον » πῦρ. Ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς διαιωνίζων ὕμνος ἀνε» μέλπετο. Τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυ» ψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Ὑμᾶς μου τότε μαθητὰς πάντες γνώσονται, εἰ τὰς ἐμὰς ἐντολὰς τηρήσετε, φησὶν ὁ Σωτὴρ τοῖς φίλοις, πρὸς πάθος μολών. Εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσι· καὶ ταπεινὰ φρονοῦντες, ἀνυψώθητε· καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν, καὶ ἀεί.

Τάξεως ἔμπαλιν ὑμῖν ἐθνικῆς ἔστω τὸ κράτος ὁμογενῶν· οὐ κλῆρος γὰρ ἐμὸς, τυραννὶς δὲ γνώμη αὐθαίρετος. Ὁ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

οὖν πρόκριτος ἐν ὑμῖν εἶναι θέλων τῶν ἄλλων, ἔστω πάντων ἐσχατώτερος· καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τους αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Ἔφριξε παίδων εὐαγῶν.

Εἶτα: Τὴν Θεοτόκον, καὶ ψάλλεται ἡ Θ΄ Ὠδὴ μετὰ τοῦ Εἱρμοῦ αὖθις.

Ὠδὴ Θ΄. Ὁ Εἱρμός.

» Ἐμεγάλυνας, Χριστέ, τὴν τεκοῦσάν σε Θεοτόκον, ἀφ᾿ ἧς » ὁ Πλάστης ἡμῶν ὁμοιοπαθὲς περιέθου σῶμα, τὸ τῶν » ἡμετέρων λυτήριον ἀγνοημάτων· ταύτην μακαρίζοντες, πᾶ» σαι γενεαὶ σὲ μεγαλύνομεν. (Δίς).

Δόξα Πατρί.

Ῥύπον πάντα ἐμπαθῆ ἀπωσάμενοι, ἐπάξιον τῆς θείας βασιλείας γνώμην ἀναλάβετε ἔμφρονα, τοῖς σοῖς Ἀποστόλοις προέφη ἡ πάντων σοφία, ἐν ᾗ δοξασθήσεσθε, λάμποντες ἡλίου τηλαυγέστερον.

Καὶ νῦν, καὶ ἀεί.

Ἀφορῶντες εἰς ἐμέ, εἶπας, Κύριε, τοῖς σεαυτοῦ μαθηταῖς· Μὴ φρονεῖτε ὑψηλά, ἀλλὰ συναπάχθητε τοῖς ταπεινοῖς· ἐμὸν ὅπερ πίνω, πίετε ποτήριον, ὅτι ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς ἐμοὶ συνδοξασθήσεσθε.

Καταβασία. Ἐμεγάλυνας. Συναπτὴ μικρά. Ἐκφώνησις.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, Ἐξαποστειλάριον αὐτόμελον. Ἦχος γ΄.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, φωτοδότα, καὶ σῶσόν με. (τρίς).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἰς τοὺς Αἴνους(*) ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ ἰδιόμελα δευτεροῦντες αὐτά.

Στίχος α'. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἦχος α'.

Ἐρχόμενος ὁ Κύριος πρὸς τὸ ἑκούσιον πάθος, τοῖς Ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ· Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ Υἱὸς τοῦ ἀνθρώπου, καθὼς γέγραπται περὶ αὐτοῦ. Δεῦτε οὖν καὶ ἡμεῖς, κεκαθαρμέναις διανοίαις, συμπορευθῶμεν αὐτῷ καὶ συσταυρωθῶμεν, καὶ νεκρωθῶμεν δι' αὐτὸν ταῖς τοῦ βίου ἡδοναῖς· ἵνα καὶ συζήσωμεν αὐτῷ καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ. Οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ διὰ τὸ παθεῖν, ἀλλὰ ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. Καὶ συνανυψῶ ὑμᾶς εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Στίχος β'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὸ αὐτό.

Στίχος γ'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἦχος πλ. α'.

Φθάσαντες, πιστοί, τὸ σωτήριον πάθος Χριστοῦ τοῦ Θεοῦ, τὴν ἄφατον αὐτοῦ μακροθυμίαν δοξάσωμεν· ὅπως, τῇ αὐτοῦ εὐσπλαγχνίᾳ, συνεγείρῃ καὶ ἡμᾶς, νεκρωθέντας τῇ ἁμαρτίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

---

(*) Εἰς τὸ **Αἰνεῖτε** ὁ πατριάρχης ἀσπάζεται τὰς ἁγίας εἰκόνας τῶν Παθῶν καὶ εὐλογήσας τὸν λαόν, τῶν χορῶν ψαλλόντων τὸ **Εἰς πολλὰ ἔτη,** ἀνέρχεται αὖθις εἰς τὸ παραθρόνιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος δ'. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τὸ αὐτό.

Δόξα καὶ νῦν. Ἦχος πλ. α'.

Κύριε, ἐρχόμενος πρὸς τὸ πάθος, τοὺς ἰδίους στηρίζων μαθητὰς ἔλεγες, κατ' ἰδίαν παραλαβὼν αὐτούς· Πῶς τῶν ῥημάτων μου ἀμνημονεῖτε, ὧν πάλαι εἶπον ὑμῖν, ὅτι προφήτην πάντα οὐ γέγραπται, εἰ μὴ ἐν Ἱερουσαλὴμ ἀποκτανθῆναι. Νῦν οὖν καιρὸς ἐφέστηκεν, ὃν εἶπον ὑμῖν· ἰδοὺ γὰρ παραδίδομαι ἁμαρτωλῶν χερσὶν ἐμπαιχθῆναι, οἳ καὶ σταυρῷ με προσπήξαντες, ταφῇ παραδόντες, ἐβδελυγμένον λογιοῦνται νεκρόν· ὅμως θαρσεῖτε· τριήμερος γὰρ ἐγείρομαι, εἰς ἀγαλλίασιν πιστῶν καὶ ζωὴν τὴν αἰώνιον.

Ὁ προεστώς· Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε, Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτωρ· Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ δὲ τὸ Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ καὶ τὴν ἐκφώνησιν Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, ἄρχεται τῶν Ἀποστίχων ὁ α' χορός.

Ἦχος πλ. α'.

Κύριε, πρὸς τὸ μυστήριον τὸ ἀπόρρητον τῆς σῆς οἰκονομίας οὐκ ἐξαρκοῦσα ἡ τῶν ἐκ Ζεβεδαίου μήτηρ, ᾐτεῖτό σοι προσκαίρου βασιλείας τιμὴν τοῖς ἑαυτοῖς δωρήσασθαι τέκνοις· ἀλλ' ἀντὶ ταύτης, ποτήριον θανάτου ἐπηγγείλω πιεῖν τοῖς φί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

λοις σου· ὃ ποτήριον πρὸ τούτων πιεῖν ὁ αὐτὸς ἔλεγες, ἁμαρτημάτων καθαρτήριον. Διό σοι βοῶμεν· Ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, δόξα σοι.

Στίχος α'. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Κύριε, τὰ τελεώτατα φρονεῖν, τοὺς οἰκείους παιδεύων μαθητάς, μὴ ὁμοιοῦσθαι τοῖς ἔθνεσιν ἔλεγες, εἰς τὸ κατάρχειν τῶν ἐλαχιστοτέρων· οὐχ οὕτω γὰρ ἔσται ὑμῖν τοῖς ἐμοῖς μαθηταῖς, ὅτι πτωχὸς θέλων ὑπάρχω· ὁ πρῶτος οὖν ὑμῶν ἔστω πάντων διάκονος· ὁ δὲ ἄρχων ὡς ὁ ἀρχόμενος· ὁ προκριθεὶς δὲ ὡς ὁ ἔσχατος· καὶ γὰρ ἐλήλυθα αὐτὸς τῷ πτωχεύσαντι Ἀδὰμ διακονῆσαι καὶ λύτρον δοῦναι ἀντὶ πολλῶν τὴν ψυχὴν τῶν βοώντων μοι· Δόξα σοι.

Στίχος β'. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἦχος πλ. δ'.

Τῆς ξηρανθείσης συκῆς, διὰ τὴν ἀκαρπίαν, τὸ ἐπιτίμιον φοβηθέντες, ἀδελφοί, καρποὺς ἀξίους τῆς μετανοίας προσάξωμεν Χριστῷ, τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν. Ἦχος πλ. δ'.

Δευτέραν Εὔαν τὴν αἰγυπτίαν εὑρὼν ὁ δράκων, διὰ ῥημάτων ἔσπευδε κολακείας ὑποσκελίσαι τὸν Ἰωσήφ· ἀλλ' αὐτὸς καταλιπὼν τὸν χιτῶνα, ἔφυγε τὴν ἁμαρτίαν, καὶ γυμνὸς οὐκ ᾐσχύνετο, ὡς ὁ πρωτόπλαστος, πρὸ τῆς παρακοῆς· αὐτοῦ ταῖς ἱκεσίαις, Χριστέ, ἐλέησον ἡμᾶς.

Εἶτα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῷ ὀνόματί σου, Ὕψιστε. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Μεθ' ὃ τὸ Τρισάγιον, τὸ Κοντάκιον Ὁ Ἰακὼβ ὠδύρετο ὑπὸ τοῦ ἀναγνώστου (ὅρα προηγουμένως). Κύριε ἐλέησον ιβ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ προεστώς· Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Ἐκκλησίαν ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα τὰς τρεῖς μεγάλας μετανοίας ποιοῦμεν, λέγοντες καθ' ἑαυτοὺς τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ τοῦ Σύρου.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας μή μοι δός.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τὸ ὁρᾷν τὰ ἐμὰ πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀπόλυσις. Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Ἐρχόμενος ὁ Κυριος ἐπὶ τὸ ἑκούσιον πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστος ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μάτων, τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τοῦ ναοῦ) καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ ΠΡΩΙ·

## ΕΝ ΤΑΙΣ ΩΡΑΙΣ

Πρὸ τοῦ εὐλογητοῦ ἀναγινώσκονται πέντε Καθίσματα τοῦ Ψαλτηρίου. Μετὰ δὲ τὴν συμπλήρωσιν ταύτην ἀναγινώσκονται αἱ Ὧραι λιταί.

### ΩΡΑ ΠΡΩΤΗ

Ὁ ἱερεύς. Εὐλογητὸς ὁ Θεός. Βασιλεῦ οὐράνιε. Τρισάγιον. Δόξα καὶ νῦν. Παναγία Τριάς. Δόξα καὶ νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον ιβ'. Δόξα καὶ νῦν. Δεῦτε προσκυνήσωμεν (τρίς).

### ΨΑΛΜΟΣ 5.

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου.

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε· τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με· ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.

Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτούς, ὁ Θεός.

Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.

Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς.

Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον.

Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

## ΨΑΛΜΟΣ 89.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας· Ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΠΕΡΙΦΕΡΕΙΑ ΑΤΤΙΚΗΣ ΚΑΙ ΝΗΣΩΝ ΚΕΝΤΡΙΚΗ ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΛΚΙΔΟΣ ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡ ἡμέρα ἡ χθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται, τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, πληρωθείη καὶ ξηρανθείη.

Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

Ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελείπομεν.

Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων. Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὰ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

Ὅτι ἐπῆλθε πραότης ἐφ᾽ ἡμᾶς καὶ παιδευθησόμεθα.

Τίς γιγνώσκει τὸ κράτος τῆς ὀργῆς σου; καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;

Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

Ἐπίστρεψον, Κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν· ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφράνθημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 100.

Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με; διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον· ποιοῦντας παραβάσεις ἐμίσησα· οὐκ ἐκολλήθη μοι καρδία σκαμβή· ἐκκλίνοντος ἀπ᾿ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾿ ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Δόξα καὶ νῦν. Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. Κύριε ἐλέησον. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τί σε καλέσωμεν, ὦ κεχαριτωμένη; Οὐρανόν· ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης. Παράδεισον· ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον· ὅτι ἔμεινας ἄφθορος. Ἁγνὴν Μητέρα· ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱὸν, τὸν πάντων Θεόν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ εὐθύς.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Εἶτα. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Κοντάκιον.

Ὁ Ἰακὼβ ὠδύρετο τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς βασιλεὺς τιμώμενος· τῆς αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.

Κύριε ἐλέησον μ'.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεὸς, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· Αὐτὸς Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπρο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ.

Ὁ ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς τὴν προσημειωθεῖσαν εὐχὴν τοῦ ἁγίου Εὐφραὶμ (τοῦ Σύρου)· Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου· τὰς ιβ' μικρὰς μετανοίας. Εἶτα αὖθις, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον ιβ', καὶ τὴν ἑπομένην εὐχήν.

Χριστὲ τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

## ΩΡΑ ΤΡΙΤΗ

Δεῦτε προσκυνήσωμεν γ' (*).

## ΨΑΛΜΟΣ 16.

Εἰσάκουσον, Κύριε, τῆς δικαιοσύνης μου· πρόσχες τῇ δεήσει μου· ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις. Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι· οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπισκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. Ὅως ἂν

(*) Αἱ Ὧραι Γ', ΣΤ' καὶ Θ' ἀναγινωσκόμεναι ἄνευ παρεμβολῆς διαλείμματος, ἄρχονται ἀπὸ τοῦ **Δεῦτε προσκυνήσωμεν.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ρημάτων μου. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου, φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον· τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. Ἀνάστηθι, Κύριε· πρόφθασον αὐτούς, καὶ ὑποσκέλισον αὐτούς· ρῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ρομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου, Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς· διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν· ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

## ΨΑΛΜΟΣ 24.

Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν πάντες οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. Ὁδήγησόν με ἐν τῇ ἀληθείᾳ σου, καὶ δίδαξόν με ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου· καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ραν. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σὺ ἕνεκα τῆς χρηστότητός σου, Κύριε. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει· διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ. Ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστί. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς. Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον· ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με· ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε Κύριε. Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

## ΨΑΛΜΟΣ 50.

Ἐλέησόν με ὁ Θεὸς (ὅρα σελ. 17).

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Δόξα σοι ὁ Θεός. Κύριε ἐλέησον γ'. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτόκε, σὺ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τῶν Ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθὺς

Κύριε ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδῶσαι ἡμῖν, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Κοντάκιον.

Ὁ Ἰακὼβ ὠδύρετο. Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα. καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ τοῦ Σύρου (ἴδε σελ. 26), καὶ τὰς ιβ' μικράς. Μετὰ δὲ τὴν τελευταίαν λέγομεν τὴν ἑπομένην εὐχήν.

Δέσποτα Θεὲ, Πάτερ παντοκράτωρ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ, οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΩΡΑ ΕΚΤΗ (*)

Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας τρεῖς.

### ΨΑΛΜΟΣ 53.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου· ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου· καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου· ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν· ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

### ΨΑΛΜΟΣ 54.

Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι, καὶ εἰσάκουσόν μου· ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ· φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. Καὶ εἶπα· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος. Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν·

(*) Ἀναγινωσκομένης τῆς ΣΤ' ὥρας, ὁ Μ. ἀρχιμανδρίτης μετὰ τοῦ τριτεύοντος τῶν διακόνων λαμβάνουσι καιρὸν παρὰ τοῦ πατριάρχου διὰ τὴν λειτουργίαν, μεταβαίνοντες εἰς τὸ παρεκκλήσιον τῶν πατριαρχικῶν κελλίων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς· καὶ ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία· καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα· ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου ἐπορεύθημεν ἐν ὁμονοίᾳ. Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου. Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι· ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί. Εἰσακούσεται ὁ Θεός, καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ, διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν· ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ Κύριε ἐλπιῶ ἐπὶ σέ.

## ΨΑΛΜΟΣ 90.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται, ἐρεῖ τῷ Κυρίῳ· ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταρα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

χώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ. Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου· τὸν ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου· ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου· κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν· μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ΄. Δόξα σοι ὁ Θεός. Κύριε ἐλέησον γ΄.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος· ὅτι ἐλεήμων ἐστὶ καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ εὐθὺς τὸ τροπάριον τῆς προφητείας.

Ἐν ψυχῇ συντετριμμένῃ προσπίπτομέν σοι, καὶ δεόμεθά σου, Σωτὴρ τοῦ κόσμου. Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν ψυχῇ συντετριμμένῃ προσπίπτομέν σοι καὶ δεόμεθα κτλ.

Προκείμενον Ἦχος δ'. Ψαλμὸς 125.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡς παρακεκλημένοι.

Στίχ. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα. (Κεφ. Α'. 1).

Ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει, ἐν τῷ τετάρτῳ μηνὶ, πέμπτῃ τοῦ μηνὸς, καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ Χοβάρ· καὶ ἠνοίχθησαν οἱ οὐρανοὶ καὶ εἶδον ὅρασιν Θεοῦ, πέμπτῃ τοῦ μηνὸς, τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ βασιλέως Ἰωακείμ. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ, υἱὸν Βλουζεὶ, τὸν ἱερέα, ἐν γῇ Χαλδαίων, ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου. Καὶ εἶδον, καὶ ἰδοὺ πνεῦμα ἐξαῖρον ἤρχετο ἀπὸ βορρᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος κύκλῳ αὐτοῦ, καὶ πῦρ ἐξαστράπτον· καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠλέκτρου ἐν μέσῳ τοῦ πυρὸς, καὶ φέγγος ἐν αὐτῷ, καὶ ἐν τῷ μέσῳ ὡς ὁμοίωμα τεσσάρων ζώων. Καὶ αὕτη ἡ ὅρασις αὐτῶν, ὁμοίωμα ἀνθρώπου ἐπ' αὐτοῖς· καὶ τέσσαρα πρόσωπα τῷ ἑνὶ, καὶ τέσσαρες πτέρυγες τῷ ἑνί· καὶ τὰ σκέλη αὐτῶν ὀρθὰ, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, καὶ σπινθῆρες ὡς ἐξαστράπτων χαλκὸς, καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν· καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν, καὶ αἱ πτέρυγες αὐτῶν τῶν τεσσάρων, ἐχόμεναι ἑτέρα τῆς ἑτέρας· καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσσάρων οὐκ ἐπεστρέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

φοντο ἐν τῷ βαδίζειν αὐτά· ἕκαστον ἀπέναντι τοῦ προσώπου αὐτῶν ἐπορεύοντο. Καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον ἀνθρώπου καὶ πρόσωπον λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσι· καὶ αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν τοῖς τέσσαρσιν, ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς ἀλλήλας, καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν. Καὶ ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο· οὗ ἂν ᾖ τὸ πνεῦμα πορευόμενον ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον. Καὶ ἐν μέσῳ τῶν ζώων ὅρασις ὡς ἀνθρώπων πυρὸς καιομένων, ὡς ὄψις λαμπάδων συστρεφομένων ἀνὰ μέσον τῶν ζώων· καὶ φέγγος τοῦ πυρός, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή, καὶ τὰ ζῶα ἔτρεχον, καὶ ἀνέκαμπτον ὡς εἶδος τοῦ Βεζέκ. Καὶ εἶδον, καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζώων τοῖς τέσσαρσι· καὶ τὸ εἶδος τῶν τροχῶν, ὡς εἶδος Θαρσεῖς, καὶ ὁμοίωμα καὶ τὸ ποίημα αὐτῶν ἓν τοῖς τέσσαρσι· καὶ τὸ ἔργον αὐτῶν ἦν καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ. Ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά, οὐδ' οἱ νῶτοι αὐτῶν· καὶ ὕψος ἦν αὐτοῖς. Καὶ εἶδον αὐτά· καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσι. Καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῶα, ἐπορεύοντο καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῶα ἀπὸ τῆς γῆς, ἐξήροντο καὶ οἱ τροχοί. Οὗ ἂν ἡ νεφέλη, ἐκεῖ ἦν καὶ τὸ πνεῦμα τοῦ πορεύεσθαι· ἐπορεύοντο τὰ ζῶα, καὶ οἱ τροχοὶ ἐξήροντο σὺν αὐτοῖς· διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς.

Προκείμενον ἦχος πλ. β'. Ψαλμὸς 126.

**Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.**

Στίχ. **Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.**

Καὶ εὐθὺς τὸ

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν ὁ Θεός, ὁ Σω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κοντάκιον. Ὁ Ἰακὼβ ὠδύρετο. Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ. Ὁ ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς τὴν εὐχὴν Κύριε καὶ Δέσποτα (ὅρα σελ. 26) καὶ τὰς ιβ' μικράς. Μετὰ δὲ τὴν τελευταίαν, ἀμέσως ἀρχόμεθα τῆς Θ' ὥρας.

## ΩΡΑ ΕΝΝΑΤΗ

Δεῦτε προσκυνήσωμεν γ'.

### ΨΑΛΜΟΣ 83.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν Δυνάμεων. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· ἡ καρδία μου καὶ ἡ σὰρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς· τὰ θυσιαστήριά σου, Κύριε τῶν Δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου· εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Μακάριος ἀνὴρ ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο· καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν, πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών. Κύριε, ὁ Θεὸς τῶν Δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώτισαι ὁ Θεὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἰακώβ. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεὸς, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας· ἐξελεξάμην παραῤῥίπτεσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεὸς, χάριν καὶ δόξαν δώσει. Κύριος οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

## ΨΑΛΜΟΣ 84.

Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ Θεὸς, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δώῃς ἡμῖν. Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν· ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 85.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου· ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου· ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου· ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ Θεὸς μόνος. Ὁδήγησόν με, Κύριε, τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι, Κύριε, ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ, Κύριε ὁ Θεὸς, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν· καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Δόξα σοι ὁ Θεός. Κύριε ἐλέησον γ'.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Ἰδοὺ ὁ νυμφίος ἔρχεται.
Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ· ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Καὶ εὐθὺς

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ἀπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τρισάγιον. Παναγία τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Κοντάκιον. Ὁ Ἰακὼβ ὠδύρετο. Κύριε ἐλέησον μ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ.

Ὁ ἱερεύς. Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες μυστικῶς τὴν προδηλωθεῖσαν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ (τοῦ Σύρου) καὶ εἶτα ἀρχόμεθα τῶν Μακαρισμῶν.

**ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ (*)** ἦχος πλ. β'.

Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ

(*) Ψαλλομένων τῶν Μακαρισμῶν ὁ Μ. σύγκελλος, ὁ Μ. ἐκκλησιάρχης καὶ εἷς τῶν πατριαρχικῶν ἱερέων μεταβαίνουσιν εἰς τὸ παρεκκλήσιον τοῦ πατριάρχου, ὅπως συνοδεύσωσιν αὐτὸν κατερχόμενον εἰς τὸν ἱερὸν ναόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

βασιλεία τῶν οὐρανῶν. Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μνήσθητι ἡμῶν κτλ.

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Μνήσθητι ἡμῶν κτλ.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Μνήσθητι ἡμῶν κτλ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν, Ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Εἶτα

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, Ἅγιος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχος. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Χορὸς ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων μετὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστον, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εἶτα

Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεός, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ καὶ λόγῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Πάτερ ἡμῶν κτλ.

Μετὰ ταῦτα λέγομεν τὸ Κοντάκιον τῆς ἡμέρας.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Δευτέρᾳ.

Ὁ Ἰακὼβ ὠδύρετο τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς βασιλεὺς τιμώμενος· τῆς Αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Τρίτῃ.

Τὴν ὥραν, ψυχή, τοῦ τέλους ἐννοήσασα καὶ τὴν ἐκκοπὴν τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον φιλοπόνως ἔργασαι, ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα. Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Τετάρτῃ.

Ὑπὲρ τὴν πόρνην, ἀγαθέ, ἀνομήσας, δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα· ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πόθῳ ἀσπαζόμενος τοὺς ἀχράντους σου πόδας, ὅπως μοι τὴν ἄφεσιν, ὡς δεσπότης, παράσχῃς τῶν ὀφλημάτων, κράζοντι, Σωτήρ. Ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας καὶ τὰς ιβ' μικράς. Μετὰ δὲ τὴν τελευταίαν εὐθὺς τὸ Τρισάγιον(*). Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον ιβ'.

Εἶτα τὴν ἑπομένην εὐχήν.

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διὰ παντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ὁ ἱερεὺς ποιεῖ ἀπόλυσιν μικράν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ἐρχόμενος ὁ Κυριος ἐπὶ τὸ ἑκούσιον πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς πανα-

(*) Ἀναγινωσκομένου τοῦ **Τρισαγίου** κατέρχεται ὁ πατριάρχης μετὰ τῆς συνοδίας αὐτοῦ εἰς τὸν ναόν, προπορευομένων τῶν ἱερέων. Προσέχει δ' ὁ ἀναγνώστης, ὅπως τελειώσῃ τὸ **Πάτερ ἡμῶν** ἅμα τῇ ἀφίξει τοῦ πατριάρχου πρὸ τῆς εἰσόδου τοῦ ναοῦ. Ἐνῷ δὲ εἰσέρχεται ὁ πατριάρχης εἰς τὸν ναόν, ὁ Μ. ἀρχιμανδρίτης λέγει τὸ **Ὅτι σοῦ ἐστιν.** Μεθ' ὃ ἀμφότεροι οἱ χοροὶ ψάλλουσιν **Εἰς πολλὰ ἔτη,** εὐλογοῦντος τοῦ πατριάρχου τὸν λαόν. Εἶτα ὁ ἀναγνώστης λέγει τὸ **Κύριε ἐλέησον** ιβ'. ὁ Πατριάρχης τὴν εὐχὴν **Παναγία Τριάς.** Καὶ ἀπόλυσις μικρὰ παρὰ τοῦ Μ. Ἀρχιμανδρίτου, καθ' ἣν ὁ λειτουργήσων Τριτεύων ὑποκλίνας τὴν κεφαλὴν τῷ πατριάρχῃ, εἰσέτι ἱσταμένῳ ἐν τῷ μέσῳ τοῦ ναοῦ, καὶ εὐλογηθεὶς λεγομένου τοῦ **Δι' εὐχῶν τῶν ἁγίων Πατέρων** ἀσπάζεται τὴν παναγίαν αὐτοῦ δεξιάν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

χράντου αὐτοῦ Μητρὸς, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων κτλ.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ Προοιμιακοῦ ψαλμοῦ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### ΨΑΛΜΟΣ 103.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον· Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα· ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς· οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα· ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν· ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τόπον ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ



ΠΕΡΙΦΕΡΕΙΑΚΗ ΔΙΟΙΚΗΣΙΣ ΑΤΤΙΚΗΣ ΚΑΙ ΝΗΣΩΝ ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΙΚΗ ΧΑΛΚΙΔΟΣ
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου· τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας· ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν· ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ· σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται· ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων· ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

νιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω· ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν οἱ ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα καὶ νῦν. Ἀλληλούϊα ἐκ γ'.

Εἶτα μεγάλη συναπτὴ, καὶ ἡ ἐκφώνησις Ὅτι πρέπει σοι, μεθ' ἣν στιχολογοῦμεν τὸ 18ον Κάθισμα.

## ΨΑΛΜΟΣ 119.

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

## ΨΑΛΜΟΣ 120.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

νυστάξῃ ὁ φυλάσσων σε· ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Κύριος φυλάξοι σε, Κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου· ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος· Κύριος φυλάξοι τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

## ΨΑΛΜΟΣ 121.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου πορευσόμεθα· ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ· Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου· ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπ᾽ οἶκον Δαυΐδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ· καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε· γενέσθω εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν τοῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ· ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

## ΨΑΛΜΟΣ 122.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. Ἐλέησον ἡμας, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 123.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ· εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς· ἄρα τὸ ὕδωρ κατεπόντισεν ἡμᾶς, χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἀλληλούϊα γ'. Δόξα σοι ὁ Θεός. Κύριε ἐλέησον γ'. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα συναπτὴ μικρά. Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία κτλ. Ὁ ἀναγνώστης εἰπὼν τὸ Ἀμὴν ἄρχεται τῆς Β' στάσεως.

## ΨΑΛΜΟΣ 124.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίᾳ χεῖρας αὐτῶν. Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 126.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν. Ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης· ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος ἄνθρωπος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθῶσιν, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ.

## ΨΑΛΜΟΣ 127.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ· τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται. Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

## ΨΑΛΜΟΣ 128.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ· πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί· ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών· γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη· οὗ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων· καὶ οὐκ εἶπαν οἱ παράγοντες· εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Δόξα καὶ νῦν. Μικρὰ συναπτή. Ἐκφώνησις Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. Ὁ ἀναγνώστης Ἀμὴν, καὶ ἄρχεται τῆς Γ' στάσεως.

## ΨΑΛΜΟΣ 129.

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. Ἀπὸ φυλακῆς πρωίας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

## ΨΑΛΜΟΣ 130.

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν καρδίαν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

## ΨΑΛΜΟΣ 131.

Μνήσθητι, Κύριε, τοῦ Δαυῒδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου. Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ· εἰσελευσώμεθα εἰς τὸ σκήνωμα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν μου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαυῒδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτοὺς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ· αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτον· τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου· τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

## ΨΑΛΜΟΣ 132.

Ιδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ· ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 133.

Ιδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν· ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλογήσαι σοι Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Δόξα σοι ὁ Θεὸς (ἐκ τρίτου), ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι. Πληρωθέντος τοῦ ψαλτηρίου συναπτὴ μικρὰ καὶ ἐκφώνησις Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν κτλ.

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ ἑξῆς ἰδιόμελα τῶν Αἴνων καὶ τῶν Ἀποστίχων, ἱστῶντες στίχους ϛ'.

Ἐρχόμενος ὁ Κύριος (σελ. 22).

Φθάσαντες πιστοί.

Κύριε, ἐρχόμενος πρὸς τὸ πάθος.

Κύριε, πρὸς τὸ μυστήριον τὸ ἀπόρρητον.

Κύριε, τὰ τελεώτατα φρονεῖν.

Τῆς ξηρανθείσης συκῆς διὰ τὴν ἀκαρπίαν.

Δόξα καὶ νῦν.

Δευτέραν Εὔαν τὴν αἰγυπτίαν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρὸν καὶ τὰ Ἀναγνώσματα.

Ὁ διάκονος ἐκφωνεῖ : Ἑσπέρας.

Ὁ προεστώς : Προκείμενον ἦχος πλ. β'.

## ΨΑΛΜΟΣ 133.

Εὐλογήσαι σοι Κύριος ἐκ Σιὼν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Στίχ. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ διάκονος. Σοφία.

Ὁ προεστώς. Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος. Πρόσχωμεν.

Ὁ προεστώς ;

Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ, τῶν εἰσπορευομένων εἰς Αἴγυπτον, ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν· ἕκαστος πανοικὶ αὐτῶν εἰσήλθοσαν, Ρουβὴμ, Συμεὼν, Λευΐ, Ἰούδας, Ἰσσάχαρ, Ζαβουλὼν, Βενιαμὶν, Δὰν καὶ Νεφθαλεὶμ, Γὰδ καὶ Ἀσήρ· Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ. Ἦσαν δὲ πᾶσαι αἱ ψυχαὶ, αἱ ἐξελθοῦσαι ἐκ μηροῦ Ἰακὼβ, πέντε καὶ ἑβδομήκοντα. Ἐτελεύτησε δὲ Ἰωσὴφ, καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ γενεὰ ἐκείνη. Οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήθησαν καὶ ἐπληθύνθησαν, καὶ χυδαῖοι ἐγένοντο, καὶ κατίσχυον σφόδρα σφόδρα· ἐπλήθυνε δὲ ἡ γῆ αὐτούς. Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Εἶπε δὲ τῷ ἔθνει αὐτοῦ. Ἰδοὺ, τὸ ἔθνος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος καὶ ἰσχύει ὑπὲρ ἡμᾶς· δεῦτε οὖν κατασοφισώμεθα αὐτοὺς, μήποτε πληθυνθῇ· καὶ ἡνίκα ἂν ἡμῖν συμβῇ πόλεμος, προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους, καὶ ἐκπολεμήσαντες ἡμᾶς, ἐξελεύσονται ἐκ τῆς γῆς. Καὶ ἐπέστησεν αὐτοῖς ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραὼ, τήν τε Πειθὼ, Ραμεσσῆ καὶ τὴν Ὢν, ἥ ἐστιν Ἡλιούπολις. Καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο, καὶ ἴσχυον σφόδρα σφόδρα. Καὶ ἐβδελύσσοντο οἱ αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, καὶ κατεδυνάστευον οἱ αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ βίᾳ· καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς τῷ πηλῷ, καὶ τῇ πλινθείᾳ, καὶ πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα, ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ βίας. Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν ἑβραίων, τῇ μιᾷ αὐτῶν ὄνομα Σεπφόρα, καὶ τὸ ὄνομα τῆς δευτέρας Φουά· καὶ εἶπεν αὐταῖς· ὅταν μαιοῦσθε τὰς ἑβραίας, κα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ῶσι πρὸς τὸ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό· ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό. Ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν Θεόν, καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου· καὶ ἐζωογόνουν τὰ ἄρσενα. Ἐκάλεσε δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας καὶ εἶπεν αὐταῖς· Τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο, καὶ ἐζωογονεῖτε τὰ ἄρσενα; Εἶπαν δὲ αἱ μαῖαι τῷ Φαραώ· οὐχ ὡς αἱ γυναῖκες Αἰγύπτου αἱ ἑβραῖαι· τίκτουσι γὰρ πρὶν ἢ εἰσελθεῖν πρὸς αὐτὰς τὰς μαίας, καὶ ἔτικτον. Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις· καὶ ἐπλήθυνεν ὁ λαὸς καὶ ἴσχυε σφόδρα.

Προκείμενον ἦχος πλ. δ΄. Ψαλμὸς 128.

**Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.**

Στίχ. **Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ.**

Εἶτα ὁ ἀναγνώστης(*) ἐκφωνεῖ: **Κέλευσον.**

Ὁ ἱερεὺς φέρων ἐν τῇ δεξιᾷ λαμπάδα ἀνημμένην καὶ θυμιατήριον ἐξηρτημένον, ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης καὶ σφραγίζων Σταυρὸν, ἐκφωνεῖ **Σοφία ὀρθή.** Εἶτα στραφεὶς πρὸς τὸν λαὸν καὶ εὐλογῶν διὰ τῆς λαμπάδος σταυροειδῶς ἐκφωνεῖ· **Φῶς Χριστοῦ φαίνει πᾶσι.**

Ὁ προεστώς. Ἰὼβ τὸ ἀνάγνωσμα (Κεφ. Α΄. 1).

Ὁ διάκονος. **Πρόσχωμεν.**

Ὁ προεστώς:

Ἄνθρωπός τις ἦν ἐν τῇ χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτά, καὶ θυγατέρες τρεῖς· καὶ ἦν τὰ κτήνη αὐτοῦ, πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα

* Κατά τινας ἀρχαίας Λειτουργικὰς ὁ διάκονος ἐκφωνεῖ τὸ **Κέλευσον.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἦν αὐτῷ ἐπὶ τῆς γῆς· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν. Συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους, ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν, συμπεριλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν, ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν. Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν Ἰὼβ, καὶ ἐκαθάριζεν αὐτοὺς, ἀνιστάμενος τῷ πρωῒ, καὶ προσέφερε περὶ αὐτῶν θυσίας, κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας ὑπὲρ τῶν ψυχῶν αὐτῶν. Ἔλεγε γὰρ Ἰώβ· Μήποτε οἱ υἱοί μου ἐν τῇ καρδίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν; Οὕτως οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας. Καὶ ἐγένετο ὡς ἡμέρα αὕτη, καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἔναντι τοῦ Κυρίου, καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ. Πόθεν παραγέγονας; Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ, εἶπε· Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰώβ; ὅτι οὐκ ἔστιν αὐτῷ ὅμοιος τῶν ἐπὶ τῆς γῆς· ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος; Ἀπεκρίθη ὁ διάβολος καὶ εἶπεν ἐναντίον Κυρίου· Μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Θεόν; Οὐχὶ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; Τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας, καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς; Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων, ὧν ἔχει· ἦ μὴν εἰς πρόσωπόν σου εὐλογήσει σε. Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ. Ἰδοὺ, πάντα ὅσα ἐστὶν αὐτῷ, δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου Κυρίου.

Καὶ εὐθὺς ὁ ἱερεὺς ἐν τῷ ἱερῷ Βήματι πρὸ τῆς ἁγίας τραπέζης ψάλλει τό **Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα, ψαλλόντων τῶν χορῶν τὸ αὐτὸ τετράκις, ὁ ἱερεὺς πρικεία τῇ φωνῇ λέγει τοὺς ἑξῆς στίχους:

Α'. **Κύριε ἐκέκραξα πρὸς σὲ εἰσάκουσόν μου, εἰσάκουσόν μου· Κύριε,** ἱστάμενος εἰς τὸ δεξιὸν μέρος τῆς ἁγίας τραπέζης.

Β'. **Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου·** ἱστάμενος εἰς τὸ ἀπέναντι αὐτῆς μέρος.

Γ'. **Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις·** ἱστάμενος εἰς τὸ ἀριστερὸν αὐτῆς μέρος.

Δ'. **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·** ἱστάμενος ἀπέναντι τῆς προσκομιδῆς.

Τελευταῖον, αὖθις πρὸ τῆς ἁγίας τραπέζης ψάλλει τὸ αὐτὸ μέχρι τοῦ **Ὡς θυμίαμα ἐνώπιόν σου·** ψαλλομένου δὲ τοῦ ὑπολοίπου ὑπὸ τοῦ δεξιοῦ χοροῦ, θυμιᾷ τὸν λαὸν (ὅστις καὶ ποιεῖ μετανοίας).

Μετ' αὐτὸ τὸ Εὐαγγέλιον (*).

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ (ΚΔ'. 3—35).

Τῷ καιρῷ ἐκείνῳ, καθημένου τοῦ Ἰησοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. Βλέπετε, μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε, μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ'

(*) **Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι** οὐ λέγομεν διότι τελεῖται λειτουργία.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

οὔπω ἐστὶ τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους. Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους· καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τοῦτο τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος. Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ (ὁ ἀναγινώσκων νοείτω), τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη· ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δέ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ Σαββάτῳ. Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Τότε ἐάν τις ὑμῖν εἴπῃ Ἰδού, ὧδε ὁ Χριστός, ἢ ὧδε· μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ἰδού, προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν· Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί· μὴ ἐξέλθητε. Ἰδού, ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης· καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλός, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.

Εἶτα ὁ διάκονος τὰ Κατηχούμενα καὶ καθ' ἑξῆς ἡ λειτουργία τῶν προηγιασμένων. ἐν ᾗ ἀντὶ χερουβικοῦ ψάλλομεν:

Νῦν αἱ Δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν. Ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δόξης. Ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. Πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα.

Κοινωνικὸν δὲ τὸ ἑπόμενον:

Γεύσασθε καὶ ἴδετε, ὅτι Χριστὸς ὁ Κύριος. Ἀλληλούϊα.

Μετὰ δὲ τὴν ἐμφάνισιν τῶν Ἁγίων Δώρων, ψάλλεται συντόμως εἰς ἦχον β' τὸ ἑπόμενον:

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἄρτον οὐράνιον καὶ ποτήριον ζωῆς γεύσασθε καὶ ἴδετε, ὅτι Χριστὸς ὁ Κύριος. Ἀλληλούϊα (τρίς).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Μετὰ δὲ τὴν ἀπόλυσιν, διανεμομένου τοῦ ἀντιδώρου, ἀναγινώσκονται οἱ ἑπόμενοι ψαλμοί.

## ΨΑΛΜΟΣ 33.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου· ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσομεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε, ὅτι Χριστὸς ὁ Κύριος· μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμὸς Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων· καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

αὐτοὺς ὁ Κύριος. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι· λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

## ΨΑΛΜΟΣ 144.

Ὑψώσω σε ὁ Θεός μου ὁ βασιλεύς μου καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι· τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται· καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐρεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ εἰς πάντα τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσαν. Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι· τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ· ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδεις τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ζῶον εὐδοκίας. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν τῇ ἀληθείᾳ· θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν· καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου· καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα καὶ νῦν. Κύριε ἐλέησον γ'. Πάτερ ἅγιε εὐλόγησον.

Ὁ ἱερεύς· Δι' εὐχῶν.

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

### ΕΝ ΤΩ ΑΠΟΔΕΙΠΝΩ

Περὶ ὥραν ἐννάτην τῆς ἡμέρας ἀναγινώσκεται τὸ Μέγα Ἀπόδειπνον, ὡς εἴθισται.

Μετὰ τὸν Εὐλογητόν· Βασιλεῦ οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν ἐκ γ'. (Μετανοίας γ') καὶ εὐθὺς

### ΨΑΛΜΟΣ 4.

Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσάς μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν, κατανύγητε. Θύσα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τε θυσίαν δικαιοσύνης, ἐλπίσατε ἐπὶ Κύριον. Πολλοὶ λέγουσι· τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· ὅτι σὺ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

## ΨΑΛΜΟΣ 6.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σὺ, Κύριε, ἕως πότε; Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου· εἰσήκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου· ἐπιστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

## ΨΑΛΜΟΣ 12.

Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; Ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. Φώτισον τοὺς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ. Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα· ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου. Καὶ πάλιν

Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γʹ. Μετανοίας γʹ. Κύριε ἐλέησον γʹ. Δόξα καὶ νῦν.

## ΨΑΛΜΟΣ 24.

Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην, μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε, χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσεις ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει· διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ. Ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστι. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ριον; νομοθετήσεις αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτὸν, καὶ τὸ ὄνομα Κυρίου τῶν ἐπικαλουμένων αὐτόν· καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον· ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με· ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε. Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

## ΨΑΛΜΟΣ 30.

Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με· γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς, τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ· καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι· ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς· ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα. Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου· ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου· καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐτα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς· ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου· οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλὸς, ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. Ἐγὼ δὲ ἐπὶ σοὶ, Κύριε, ἤλπισα· εἶπα, σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει σου. Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπικαλεσάμην σε· αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταισχυνθείησαν εἰς ᾅδου. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κυριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σοὶ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐμοὶ ἐν πόλει περιοχῆς. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ ὁ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 90.

Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ· ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖς· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ το σωτήριόν μου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα ἐκ γ'. Κύριε ἐλέησον γ' καὶ πάλιν. Δόξα καὶ νῦν. Εἶτα δὲ ψάλλομεν τοὺς ἐφεξῆς στίχους ἐξ ἑκατέρων τῶν χορῶν εἰς ἦχον πλ. β'. Ἄρχεται δὲ ὁ πρῶτος χορὸς οὕτω:

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἰσχυκότες ἡττᾶσθε.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ἡμῖν.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, οὐδ' οὐ μὴ ταραχθῶμεν. "Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Κύριον δὲ τὸν Θεὸν ἡμῶν αὐτὸν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ὦ, ἔσται μοι εἰς ἁγιασμόν.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι δι' αὐτοῦ.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, εἶδε φῶς μέγα.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. "Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
"Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ· μεγάλης βουλῆς ἄγγελος.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Θαυμαστὸς σύμβουλος.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Πατὴρ τοῦ μέλλοντος αἰῶνος.
"Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Δόξα Πατρί. "Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ νῦν. "Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Εἶτα οἱ δύο χοροὶ ὁμοῦ.

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ εὐθὺς τὰ παρόντα τροπάρια.

Τὴν ἡμέραν διελθὼν, εὐχαριστῶ σοι, Κύριε· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀναμάρτητον, παράσχου μοι, Σωτὴρ, καὶ σῶσόν με. Δόξα.

Τὴν ἡμέραν παρελθὼν, δοξολογῶ σε, Δέσποτα· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀσκανδάλιστον, παράσχου μοι, Σωτὴρ, καὶ σῶσόν με.

Καὶ νῦν.

Τὴν ἡμέραν διαβὰς, ὑμνολογῶ σε, "Ἅγιε· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀνεπίβουλον, παράσχου μοι, Σωτὴρ, καὶ σῶσόν με.

Εἶτα ψάλλουσιν ὁμοῦ οἱ δύο χοροὶ εἰς ἦχον β' τὰ ἑπόμενα, ἀρχομένου τοῦ β' χοροῦ.

Ἡ ἀσώματος φύσις, τὰ Χερουβὶμ, ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἑξαπτέρυγα ζῶα, τὰ Σεραφὶμ, ταῖς ἀπαύστοις φωναῖς σὲ ὑπερυψοῖ.

Τῶν ἀγγέλων τε πᾶσα ἡ στρατιὰ, τρισαγίοις σε ᾄσμασιν εὐφημεῖ.

Πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν Πατὴρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱόν.

Καὶ ἰσότιμον φέρων Πνεῦμα ζωῆς, τῆς Τριάδος δεικνύεις τὸ ἀμερές.

Παναγία Παρθένε, Μήτηρ Θεοῦ, οἱ τοῦ λόγου αὐτόπται καὶ ὑπουργοί.

Προφητῶν καὶ μαρτύρων πάντες χοροὶ, ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν.

Ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς, ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς.

Ἵνα πλάνης ρυσθέντες τοῦ πονηροῦ, τῶν Ἀγγέλων βοήσωμεν τὴν ᾠδήν.

Ἅγιε, Ἅγιε, Ἅγιε, Τρισάγιε Κύριε, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καὶ εὐθὺς χθαμαλῇ τῇ φωνῇ

Πιστεύω εἰς ἕνα Θεόν (ὅρα σελ. 46).

Εἶτα τοὺς παρόντας στίχους, ὧν ὁ μὲν πρῶτος τρισσεύεται, οἱ δὲ λοιποὶ πάντες δευτεροῦνται, πλὴν τοῦ τελευταίου, ἅπαξ μόνον λεγομένου. Ἄρχεται δὲ ὁ δεύτερος χορός.

Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Ἰωάννη, προφῆτα καὶ πρόδρομε, καὶ Βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἅγιοι ἔνδοξοι Ἀπόστολοι, προφῆται καὶ μάρτυρες καὶ πάντες ἅγιοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ὅσιοι θεοφόροι πατέρες ἡμῶν, ποιμένες καὶ διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἡ ἀήττητος καὶ ἀκατάλυτος καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς.

Ὁ Θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς.

Καὶ ἐλέησον ἡμᾶς.

Εἶτα. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Καὶ τὰ παρόντα τροπάρια.

Ἦχος β'.

Φώτισον τοὺς ὀφθαλμούς μου, Χριστὲ ὁ Θεὸς, μήποτε ὑπνώσω εἰς θάνατον· μήποτε εἴπῃ ὁ ἐχθρός μου· ἴσχυσα πρὸς αὐτόν.

Δόξα.

Ἀντιλήπτωρ τῆς ψυχῆς μου γενοῦ, ὁ Θεὸς, ὅτι μέσον διαβαίνω παγίδων πολλῶν· ῥῦσαί με ἐξ αὐτῶν καὶ σῶσόν με, ἀγαθὲ, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτόκιον.

Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος· ὅτι ἐλεήμων ἐστὶ καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἕτερα τροπάρια ψαλλόμενα ἡμέραν παρ' ἡμέραν.

Ἦχος πλ. δ'.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον ἐπίστασαι, Κύριε, καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτονον ἔγνως, ὁ πλάσας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

με· διὸ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον· καὶ τοὺς νοεροὺς ὀφθαλμούς μου φώτισον, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου· καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχος. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε, τῶν ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων, τῶν ἔργων ἐρευνωμένων, τῶν λογισμῶν ἐξεταζομένων. Ποία κρίσις ἔσται ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις; Τίς μου τὴν φλόγα κατασβέσει; Τίς μου τὸ σκότος καταλάμψει, εἰ μὴ σὺ, Κύριε, ἐλεήσεις με ὡς φιλάνθρωπος.

Δόξα.

Δάκρυά μοι δὸς ὁ Θεὸς, ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρτωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου, τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας, καὶ μύρον εὐωδίας σοὶ προσφέρειν, βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτισθέντα· ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς· Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

Καὶ νῦν. Θεοτόκιον.

Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου ἔχων, σωθήσομαι· τὴν προστασίαν σου κεκτημένος, πανάχραντε, οὐ φοβηθήσομαι· καταδιώξω τοὺς ἐχθρούς μου καὶ τροπώσομαι αὐτοὺς, μόνην ἀμπεχόμενος ὡς θώρακα τὴν σκέπην σου, καὶ τὴν παντοδύναμον βοήθειάν σου καθικετεύων, βοῶ σοι· Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου καὶ ἀνάστησόν με ἐκ ζοφώδους ὕπνου πρὸς σὴν δοξολογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Τὸ Κύριε ἐλέησον μ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον πάτερ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων Πατέρων. Εἶτα τὴν ἑπομένην εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Κύριε, Κύριε, ὁ ρυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ρῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινὴν τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν ἀπειράστους κακῶν, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας, τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς· ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ καὶ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου· εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν ἐκ γ'. Μετανοίας γ'.

## ΨΑΛΜΟΣ 50.

Ἐλέησόν με ὁ Θεὸς (ὅρα σελ. 17).

## ΨΑΛΜΟΣ 101.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβομαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσομαί σε, ταχὺ εἰσάκουσόν μου. Ὅτι ἐξέλιπον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ· ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων, ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου· ὅτι ἐπάρας κατέρραξάς με. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών· ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς· καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου· ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον· ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ Κύριος, ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε, τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων· τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλὴμ· ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν· οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

## ΠΡΟΣΕΥΧΗ ΜΑΝΑΣΣΗ, ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ

Κύριε παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου· ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν· ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου· ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. Σὺ γὰρ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. Σύ, Κύριε, κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. Σὺ οὖν, Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. Ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε· ἐπλήθυναν αἱ ἀνομίαι μου καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδηρῷ, εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου, καὶ οὐκ ἔστι μοι ἄνεσις· διότι παρώργισα τὸν θυμόν σου, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, μὴ ποιήσας τὸ θέλημά σου καὶ μὴ φυλάξας τὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

προστάγματά σου. Καὶ νῦν κλίνω γόνυ καρδίας, δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. Ἡμάρτηκα, Κύριε, ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω· ἀλλ' αἰτοῦμαι δεόμενος· Ἄνες μοι, Κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τον αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· διότι σὺ εἶ Θεὸς, Θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου· ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου, καὶ αἰνέσω σε διαπαντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. Ὅτι σὲ ὑμνεῖ πασα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Καὶ τὰ ἑπόμενα κατανυκτικὰ τροπάρια ψαλλόμενα ὑπὸ τῶν χορῶν. Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν. Ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτόκιον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ, μὴ ἀστοχήσωμεν· ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Τὸ Κύριε ἐλέησον μ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ ἱερεύς. Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν.

## ΕΥΧΗ

Δέσποτα Θεὲ, Πάτερ παντοκράτωρ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλὸν, καὶ οἷς, ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. Εἶτα τοὺς ψαλμούς.

## ΨΑΛΜΟΣ 69.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε εἰς τὸ βοηθῆσαί με σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά· ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι, εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεὸς, καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχὸς καὶ πένης, ὁ Θεὸς βοήθησόν μοι· βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε, μὴ χρονίσῃς.

## ΨΑΛΜΟΣ 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶν ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου· ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος. Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου· ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι Θεός μου εἶ σύ· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκε- τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με· ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου· ὅτι ἐγὼ δοῦλός σου εἰμί.

## ΔΟΞΟΛΟΓΙΑ

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτωρ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐλέησον ἡμᾶς ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἑσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ νυκτὶ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς ψάλλομεν τὸ παρὸν Τριῴδιον, ἀρχομένου τοῦ β' χοροῦ.

Ποίημα Ἀνδρέου Κρήτης.

Ὠδὴ β'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

» Πρόσεχε, οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν
» εκ Παρθένου σαρκὶ ἐπιδημήσαντα». Δίς.

Συνέλθωμεν τῷ Χριστῷ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν μυστικῶς, μετὰ τῶν Ἀποστόλων συναυλισθῶμεν αὐτῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εννόησον, ταπεινή μου καρδία, τίς ἡ τοῦ μύλωνος παραβολή, ἣν προεῖπε Χριστὸς, καὶ νῆψον λοιπόν.

Δόξα.

Ετοίμαζε σεαυτὴν, ὦ ψυχή μου, πρὸς τὴν σὴν ἔξοδον· ἡ παρουσία ἐγγίζει τοῦ ἀδεκάστου κριτοῦ.

Καὶ νῦν. Θεοτόκιον.

Ἄχραντε, Θεοτόκε Παρθένε, μόνη πανύμνητε, τὸν υἱόν σου δυσώπει ὑπὲρ τῶν δούλων σου.

Εἱρμὸς ἄλλος. Ἦχος ὁ αὐτός.

» Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὁ πρὶν γενέσθαι τὸ πᾶν,
» καὶ πρὸ τοῦ στῆναι τὴν γῆν καὶ τὸν οὐρανὸν, γινώσκων
» τὰ πάντα, ὡς ὅλος ὢν ἐν Πατρὶ, καὶ ὅλον φέρων ἐν ἐμοί».

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὁ πάλαι τὸν Ἰσραὴλ ἐν Ἐρυθρᾷ θαλάσσῃ διαγαγὼν, καὶ σώσας καὶ θρέψας, καὶ ἐκ δουλείας αὐτὸν ἐλευθερώσας Φαραώ.

Λόγῳ συνέστησα τὸν οὐρανὸν ἅμα τῇ γῇ· συνήμην γὰρ τῷ Πατρί· καὶ διὰ λόγου φέρω τόδε τὸ πᾶν, ὡς Λόγος, σοφία καὶ δύναμις καὶ εἰκὼν καὶ συνουργὸς καὶ ἰσουργός.

Τίς χρόνους ἔθετο; τίς ὁ αἰῶνας συντηρῶν; τίς ὁ τὸ πᾶν ὁρίζων καὶ συγκινῶν; εἰ μὴ ὁ ἄναρχος συνὼν ἀεὶ τῷ Πατρὶ, ὥσπερ ἀκτὶς ἐν τῷ φωτί;

Ὢ τῆς ἀμέτρου σου φιλανθρωπίας, Ἰησοῦ! ἐγνώρισας γὰρ ἡμῖν τῆς συντελείας ἄνωθεν τὸν καιρὸν, καλύψαι τὴν ὥραν· τρανώσας δὲ τηλαυγῶς τὰ ὑποδείγματα αὐτῆς.

Πάντα ἐπίστασαι, πάντα γινώσκεις, Ἰησοῦ, ὡς ἔχων ὅλον ἐν σοὶ τὸ πατρικὸν ἀξίωμα θεϊκῶς, καὶ ὅλον τὸ Πνεῦμα, ἐμφύτως φέρων ἐν σοὶ τὸ συναΐδιον Πατρί.

Δέσποτα Κύριε, ὁ τῶν αἰώνων ποιητὴς, ἀξίωσον καὶ ἡμᾶς τῆς ἱερᾶς ἐκείνης τότε φωνῆς, ἀκοῦσαι καλούσης τοὺς ἐκλεκτοὺς τοῦ Πατρὸς εἰς βασιλείαν οὐρανῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα.

Ἄναρχε, ἄκτιστε Τριάς, ἀμέριστε μονάς, ἡ τρία οὖσα καὶ ἕν, Πατήρ, Υἱὸς καὶ Πνεῦμα, εἷς ὁ Θεός, προσδέχου τὸν ὕμνον ἐκ τῶν πηλίνων γλωσσῶν, ὡς ἐκ στομάτων φλογερῶν.

Καὶ νῦν. Θεοτόκιον.

Σκήνωμα ἅγιον ὤφθη, Παρθένε, τοῦ Θεοῦ· ἐν σοὶ γὰρ τῶν οὐρανῶν ὁ βασιλεὺς οἰκήσας σωματικῶς, προῆλθεν ὡραῖος, τὸν ἄνθρωπον ἐν αὐτῷ ἀναμορφώσας θεϊκῶς.

Κάθισμα. Ἦχος β'. Εὐσπλαγχνίας.

Εὐσπλαγχνίᾳ κινούμενος, Χριστέ, ἑκουσίως προέρχῃ τοῦ παθεῖν, εὐεργέτα, θέλων τῶν παθῶν ἡμᾶς λυτρώσασθαι καὶ τῆς ἐν τῷ ᾅδῃ κατακρίσεως· διό σου τὰ τίμια ἀνυμνοῦμεν παθήματα, καὶ δοξάζομεν, Σωτήρ, τὴν ἄκραν σου πάντες συγκατάβασιν.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

» Ἄγγελοι καὶ οὐρανοί, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον καὶ
» ὡς Θεὸν ἀπαύστως δοξαζόμενον, εὐλογεῖτε, ὑμνεῖτε
» καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας». Δίς.

Πάντως ἤκουσας ψυχή, πῶς ὁ Χριστὸς τοῖς θείοις μαθηταῖς αὐτοῦ προανεφώνει λέγων τὴν συντέλεσιν· σὺ δὲ γνοῦσα τὸ τέλος, ἑτοιμάζου λοιπόν· καιρὸς ἐξόδου ἥκει.

Ἔγνως, ἄγονε ψυχή, τοῦ πονηροῦ οἰκέτου τὸ ὑπόδειγμα· φοβοῦ καὶ μὴ ἀμέλει τοῦ χαρίσματος, οὗ ἐδέξω, οὐχ ἵνα κατακρύψῃς εἰς γῆν, ἀλλ' ἵνα ἐμπορεύσῃ.

Φαιδρυνέσθω ἡ λαμπάς, ὑπερεκχείσθω ταύτης καὶ τὸ ἔλαιον, ὡς ταῖς παρθένοις τότε ἡ συμπάθεια· ἵνα εὕρῃς, ψυχή μου, τὸν νυμφῶνα τότε Χριστοῦ ἀνεῳγμένον.

Ἐν σαββάτῳ τὴν φυγὴν καὶ ἐν χειμῶνι, λέγων ὁ διδάσκαλος, τὴν τῆς ἑβδόμης ζάλην προαινίττεται τοῦ παρόντος αἰῶνος, ἐν ᾧ ὥσπερ χειμὼν τὸ τέλος ἐπανήξει.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὥσπερ τάχος ἀστραπῆς διερχομένης, οὕτω τότε ἔσεσθαι τὴν φοβερὰν ἐκείνην τοῦ Δεσπότου σου παρουσίαν, ψυχή μου, ἤκουσας· ἑτοίμη λοιπὸν γενέσθαι σπεῦσον.

Ὅταν ἔλθῃ ὁ κριτὴς ἐν χιλιάσι τότε, μυριάσι τε ἀγγελικῶν ταγμάτων καὶ Δυνάμεων, ποῖος φόβος ψυχή μου; ποῖος τρόμος οἴμοι! γυμνῶν ἑστώτων πάντων;

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Εἷς Θεὸς οὖν ἡ Τριάς, οὐ τοῦ Πατρὸς ἐκστάντος εἰς υἱότητα, οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν, ἀλλ' ἰδίᾳ καὶ ἄμφω φῶς Θεὸν τὰ τρία δοξάζω εἰς αἰῶνας.

Καὶ νῦν. Θεοτόκιον.

Ταῖς πρεσβείαις, ὁ Θεός, τῆς Θεοτόκου δέχου τὴν εὐχὴν ἡμῶν· ἀντικατάπεμψον δὲ τὰ ἐλέη σου ἐπὶ πάντας πλουσίως, καὶ τὴν σὴν παράσχου εἰρήνην τῷ λαῷ σου.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

» Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ,
» τόκον τὸν τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σω-
» τηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν».

Ἤκουσας, ψυχή, τοῦ κριτοῦ προαναφωνοῦντος καὶ διδάσκοντός τε τῆς συντελείας τὸν χρόνον· ἑτοίμαζε τὰ πρὸς τὴν ἔξοδον ἔργα, μήπως, ὡς ἀδόκιμος Θεοῦ, ἐκριφῇς.

Ἀπὸ τῆς συκῆς, ὦ ψυχή, διδάσκου τὸ τέλος· ὅταν ἁπαλώσῃ τὰ φύλλα καὶ ἐκφύῃ τοὺς κλάδους, θέρους ὥρα λοιπόν· καὶ σὺ ὅταν ταῦτα ἴδῃς, γνῶθι ὅτι ἐπὶ θύραις ἐστίν.

Τίς ἐκτός σου ἄλλος τὸν σὸν γινώσκει Πατέρα; ἢ τίς πλήν σου οἶδε τὴν ὥραν ἢ τὴν ἡμέραν; παρὰ σοὶ γὰρ οἱ θησαυροὶ τῆς σοφίας πάντες ἐνυπάρχουσι, Χριστὲ ὁ Θεός.

Βίβλοι ἀνοιγήσονται, τῶν τε θρόνων τεθέντων, πράξεις διελέγχονται, γυμνῶν ἑστώτων πάντων, οὐ μαρτύρων, οὐ κατηγόρων παρόντων· τετραχηλισμένα γὰρ τὰ πάντα Θεῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἔρχεται ὁ πάντων κριτὴς ἀχθῆναι εἰς κρίσιν, ὁ ἐπὶ τοῦ θρόνου τῶν Χερουβὶμ ἐφεδρεύων, ὡς ὑπεύθυνος παραστῆναι Πιλάτῳ καὶ πάντα παθεῖν, ἵνα σωθῇ ὁ Ἀδάμ.

Ἤγγικε τὸ Πάσχα ἡμῶν, τὸ μέγα καὶ θεῖον· μετὰ δύο γὰρ ὁ Χριστὸς προδιδάσκει ἡμέρας, τὴν τοῦ πάθους προδιαγράφων ἡμέραν, ἐν ᾗ τῷ Πατρὶ θῦμα προσάγεται.

Παρὰ τῷ Σταυρῷ σου, Σωτὴρ, ἑστῶσα ἡ μήτηρ, καὶ τὴν ἄδικόν σου σφαγὴν καθορῶσα, ἐβόα· Οἴμοι, τέκνον ἐμὸν, τὸ ἄδυτον φέγγος, λάμψον πᾶσιν, ἥλιε τῆς δόξης, τὸ φῶς.

Δόξα.

Ὦ μονὰς ἁγία, Τριὰς ἡ μία θεότης, καὶ Τριὰς μονὰς ὁ Θεὸς, τρισυπόστατε φύσις, ἡ ὁμότιμος καὶ ἀμέριστος δόξα, ρῦσαι τῶν κινδύνων τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτόκιον.

Δέχου τὴν μητέρα τὴν σὴν, Χριστὲ, εἰς πρεσβείαν, ἵνα ταῖς ἱκεσίαις αὐτῆς εἰρηνεύσῃς τὸν κόσμον, καὶ κρατύνῃς τῆς βασιλείας τὰ σκῆπτρα, καὶ τὰς Ἐκκλησίας σου συνάψῃς εἰς ἕν.

Εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν. Καὶ τὸ ἑπόμενον τροπάριον μετὰ τῶν στίχων αὐτοῦ

Ἦχος πλ. β'.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν· Κύριε τῶν Δυνάμεων, ἐλέησον ἡμᾶς.

Στίχος. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Εἶτα ὁ πρῶτος χορός·

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὁ δεύτερος χορός·

Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Καὶ πάλιν οἱ δύο χοροὶ ὁμοῦ

Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ κτλ.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.

Κύριε, εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβευτάς, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν, Σωτήρ, ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως ἄγγελοι; Καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτόκιον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων· πρὸς σὲ κατέφυγον, ἁγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν ὧν διέπραξα δεινῶν, μόνη εὐλογημένη.

Ἕτερον ψαλλόμενον ὑπὸ τοῦ δεξιοῦ χοροῦ.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με· ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με, ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἕτερον ψαλλόμενον ὑπὸ τοῦ ἀριστεροῦ.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τὸ Κύριε ἐλέησον μ'. Εἶτα

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· Αὐτός, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς. Καὶ ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς ἀνὰ ἕνα στίχον τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ τοῦ Σύρου.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργείας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε, Βασιλεῦ, δώρησαί μοι τὸ ὁρᾷν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα καὶ τὰς ιβ' μικράς· καὶ πάλιν μετάνοιαν μεγάλην καὶ τὸν τελευταῖον στίχον τῆς εὐχῆς. Μεθ' ἣν Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν. Κύριε ἐλέησον ιβ'. Μετὰ ταῦτα, τὰς ἑπομένας εὐχάς·

## ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Παύλου μοναχοῦ μονῆς τῆς Εὐεργέτιδος.

Ἄσπιλε, ἀμόλυντε, ἄφθαρτε, ἄχραντε, ἁγνὴ Παρθένε, θεόνυμφε δέσποινα· ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα, καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς καὶ τῶν πολεμουμένων βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν χριστιανῶν τὸ καταφύγιον. Μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καὶ τῇ τῶν ἡδονῶν τοῦ βίου ῥαθυμίᾳ γνώμης δοῦλον γενόμενον· ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ μήτηρ φιλανθρώπως σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ, καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν· καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν δεσπότην καὶ κύριον, τῇ μητρικῇ σου παρρησίᾳ χρωμένη, δυσώπησον ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος, καί, παριδών μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν, καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς καὶ φιλάγαθος, ἐν μὲν τῷ παρόντι βίῳ θερμὴ προστάτις καὶ βοηθός, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με· καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόρρω αὐτῆς ἀπελαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μένη κολάσεως, καὶ τῆς ἀπορρήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, δέσποινά μου, Ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

Ἀντιόχου μοναχοῦ τοῦ Πανδέκτου.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς· καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας, καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, τὰ καθ' ἡμῶν δολίως κινούμενα· τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον, καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου, καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Η ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα καὶ νῦν. Κύριε ἐλέησον γ΄. Ὁ ἱερεὺς ἐκφωνεῖ· Εἰρήνη πᾶσι· τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. Καὶ ἡμῶν κεκλιμένων λέγει εὐθύς·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων, εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ᾽ οὕτω ποιήσας ὁ προεστὼς μετάνοιαν ἐπὶ γῆς, λέγει τοῖς ἀδελφοῖς· Εὐλογεῖτε, πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ.

Καὶ οἱ ἀδελφοί· Ὁ Θεὸς συγχωρήσαί σοι, Πάτερ ἅγιε.

Καὶ ἄρχονται οἱ ἀδελφοὶ ἀνὰ δύο, εἷς ἐξ ἑκατέρου χοροῦ, κατὰ τάξιν, ποιεῖν τὸ αὐτό, καὶ αἰτεῖσθαι καὶ λαμβάνειν συγχώρησιν, μέχρις ἂν πληρωθῶσιν ἅπαντες. Ὁ δὲ ἱερεὺς λέγει (ἀποκρινομένων ἡμῶν τὸ Κύριε ἐλέησον συνεχῶς).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν, Κύριε ἐλέησον γ΄.

Εἰς τὴν συγχώρησιν ψάλλεται τὸ ἀκόλουθον σταυροθεοτόκιον.

Σφαγήν σου τὴν ἄδικον, Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως πάσχεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; Μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν μητέρα καὶ δούλην σου, δέομαι.

Δι᾽ εὐχῶν κτλ.

Καὶ λαβόντες οἱ πάντες συγχώρησιν ἀπὸ τοῦ προεστῶτος, ἀπερχόμεθα εἰς τὰ κελλία ἡμῶν, ἔνθα λέγομεν καὶ τὴν εὐχὴν ταύτην·

Τοῖς μισοῦσι καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον, Κύριε. Τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον. Τοῖς ἀδελφοῖς καὶ οἰκείοις

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἡμῶν χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι καὶ ἴασιν δώρησαι. Τοὺς ἐν θαλάσσῃ κυβέρνησον. Τοῖς ἐν ὁδοιπορίαις συνόδευσον. Τῷ βασιλεῖ συμμάχησον. Τοῖς διακονοῦσι καὶ ἐλεοῦσιν ἡμᾶς ἁμαρτιῶν ἄφεσιν δώρησαι. Τοὺς ἐντειλαμένους ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος. Μνήσθητι, Κύριε, τῶν προκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, καὶ λύτρωσαι αὐτοὺς ἀπὸ πάσης περιστάσεως. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ δὸς αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, καὶ ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου μητρός, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν ἁγίων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

### ΕΝ ΤΩ ΟΡΘΡΩ

Ἡ ἀκολουθία τοῦ ὄρθρου τῆς Μεγάλης Τρίτης ψάλλεται ἀπαραλλάκτως κατὰ τὴν ἐν σελ. 1 προεκτεθεῖσαν διάταξιν.

Ὁ ἑξάψαλμος (σελ. 5). Τὸ Ἀλληλούϊα μετὰ μέλους καὶ τὸ Ἰδοὺ ὁ νυμφίος.

Εἶτα ψάλλομεν τὰ ἑπόμενα τρία Καθίσματα, τὰ δύο πρῶτα ἅπαξ, τὸ δὲ τρίτον δίς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν Νυμφίον, ἀδελφοί, ἀγαπήσωμεν, τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν, ἐν ἀρεταῖς ἐκλάμποντες καὶ πίστει ὀρθῇ, ἵνα, ὡς αἱ φρόνιμοι τοῦ Κυρίου παρθένοι, ἕτοιμοι εἰσέλθωμεν σὺν αὐτῷ εἰς τοὺς γάμους· ὁ γὰρ Νυμφίος δῶρον, ὡς Θεός, πᾶσι παρέχει τὸν ἄφθαρτον στέφανον.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Βουλευτήριον, Σωτήρ, παρανομίας κατὰ σοῦ ἱερεῖς καὶ γραμματεῖς, φθόνῳ ἀθροίσαντες δεινῶς, εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν· ὅθεν ἀναιδῶς ἐξεπορεύετο· ἐλάλει κατὰ σοῦ τοῖς παρανόμοις λαοῖς· Τί μοι, φησί, παρέχετε, κἀγὼ ὑμῖν αὐτὸν παραδώσω εἰς χεῖρας ὑμῶν; Τῆς κατακρίσεως τούτου ῥῦσαι, Κύριε, τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ, κατὰ τοῦ διδασκάλου ὁ δυσμενής, κινεῖται, βουλεύεται, μελετᾷ τὴν παράδοσιν, τοῦ φωτὸς ἐκπίπτει, τὸ σκότος δεχόμενος, συμφωνεῖ τὴν πρᾶσιν, πωλεῖ τὸν ἀτίμητον· ὅθεν καὶ ἀγχόνην, ἀμοιβὴν ὧν περ ἔδρα, εὑρίσκει ὁ ἄθλιος, καὶ ἐπώδυνον θάνατον. Τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι μερίδος, Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, τοῖς ἑορτάζουσι πόθῳ τὸ ἄχραντον πάθος σου.

Δόξα καὶ νῦν. Τὸ αὐτό. Εἶτα τὸ Εὐαγγέλιον.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ (ΚΒ' 15—46 καὶ ΚΓ' 1—39).

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον οἱ Φαρισαῖοι ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων· εἰπὲ οὖν ἡμῖν, τί σοῦ δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε· τί με πειράζετε ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; λέγουσιν αὐτῷ· Καίσαρος. Τότε λέγει αὐτοῖς· ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. Ἐκ ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· διδάσκαλε, Μωσῆς εἶπεν, «ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ». Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται ἡ γυνή; πάντες γὰρ ἔσχον αὐτήν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος· «ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ;» οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ το αὐτὸ, καὶ ἐπηρώτησεν εἰς ἐξ αὐτῶν, νομικός, πειράζων αὐτὸν καὶ λέγων· διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· «ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή Δευτέρα δὲ ὁμοία αὐτῇ· «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν». Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Συνηγμένων δὲ τῶν Φαρισαίων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ· τοῦ Δαυΐδ. Λέγει αὐτοῖς· πῶς οὖν Δαυΐδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων, «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;» Εἰ οὖν Δαυΐδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι. Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ λέγων· ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι. Πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γάρ, καὶ οὐ ποιοῦσι. Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ραββί, ραββί. Ὑμεῖς δὲ μὴ κληθῆτε ραββί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. Μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής, ὁ Χριστός. Ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. Ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται. Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα. Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει· μωροὶ καὶ τυφλοί! Τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; Καί· ὃς ἂν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοί! τί γὰρ μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ. Καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτόν· καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι. Ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες! Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. Οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε. Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν! πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

το ἰδοὺ ἐγὼ ἀποστέλλω πρός ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτέννουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν! ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδετε ἀπ' ἄρτι ἕως ἂν εἴπητε, **εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**

Εἶτα ὁ Ν' ψαλμὸς (σελ. 17). Συναπτὴ μικρά. Ἡ ἐκφώνησις.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετ' αὐτὴν τὸ Κοντάκιον.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν, ψυχή, τοῦ τέλους ἐννοήσατα καὶ τὴν ἐκκοπὴν τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον φιλοπόνως ἔργασαι, ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα· Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Ὁ Οἶκος.

Τί ῥαθυμεῖς, ἀθλία ψυχή μου; Τί φαντάζῃ ἀκαίρως μερίμνας ἀφελεῖς; Τί ἀσχολῇ πρὸς τὰ ῥέοντα; Ἐσχάτη ὥρα ἐστὶν ἀπ' ἄρτι, καὶ χωρίζεσθαι μέλλομεν τῶν ἐνταῦθα· ἕως καιρὸν κεκτημένη, ἀνάνηψον κράζουσα· Ἡμάρτηκά σοι,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Σωτήρ μου· μὴ ἐκκόψῃς με, ὥσπερ τὴν ἄκαρπον συκῆν, ἀλλ' ὡς εὔσπλαγχνος, Χριστὲ, κατοικτείρησον, φόβῳ κραυγάζουσαν· Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Μηνολόγιον, εἶτα τὸ παρὸν ὑπόμνημα.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Τρίτῃ τῆς τῶν δέκα παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, μνείαν ποιούμεθα.

Στίχοι.

Τρίτη μεγίστη παρθένους δέκα φέρει,
νίκην φερούσας ἀδεκάστου Δεσπότου.

Ἀλλ' ὦ Νυμφίε Χριστὲ, μετὰ τῶν φρονίμων ἡμᾶς συναρίθμησον παρθένων καὶ τῇ ἐκλεκτῇ σου σύνταξον ποίμνῃ, καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ Η'. Ἦχος β'. Ἄρχεται ὁ ἀριστερὸς χορός.

» Τῷ δόγματι τῷ τυραννικῷ, οἱ ὅσιοι τρεῖς παῖδες μὴ πει-
» σθέντες, ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν ὡμολόγουν ψάλ-
» λοντες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον».

Τροπάρια.

Ῥαθυμίαν ἄπωθεν ἡμῶν βαλώμεθα, καὶ φαιδραῖς ταῖς λαμπάσι, τῷ ἀθανάτῳ νυμφίῳ Χριστῷ ὕμνοις συναντήσωμεν· Εὐλογεῖτε, βοῶντες, τὰ ἔργα τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Ἱκανούσθω τὸ κοινωνικὸν ψυχῆς ἡμῶν ἔλαιον ἐν ἀγγείοις, ὅπως ἐπάθλων μὴ θέντες καιρὸν ἐμπορίας ψάλλωμεν· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Καὶ νῦν.

Τὸ τάλαντον ὅσοι πρὸς Θεοῦ ἐδέξασθε, ἰσοδύναμον χάριν, ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ, αὐξήσατε ψάλλοντες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Τῷ δόγματι τῷ τυραννικῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα. Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός.

Ὠδὴ Θ'.

» Ἡ τὸν ἀχώρητον Θεὸν ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν » τῷ κόσμῳ κυήσασα· σὲ ὑμνοῦμεν, παναγία Παρ- » θένε». Δίς.

Τροπάρια.

Δόξα.

Τοῖς μαθηταῖς, ὁ ἀγαθὸς, γρηγορεῖτε, ἔφησας· ᾗ γὰρ ὥρᾳ ἥξει ὁ Κύριος, ἀγνοεῖτε, ἀποδοῦναι ἑκάστῳ.

Καὶ νῦν.

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ παρουσίᾳ, Δέσποτα, δεξιοῖς προβάτοις με σύνταξον, τῶν πταισμάτων παριδών μου τὰ πλήθη.

Καταβασία. Ἡ τὸν ἀχώρητον. Συναπτὴ μικρά. Ἡ ἐκφώνησις Ὅτι σὲ αἰνοῦσι.

Εἶτα τὸ Ἐξαποστειλάριον.

Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, Φωτοδότα, καὶ σῶσόν με (τρίς).

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ παρόντα δύο ἰδιόμελα, δευτεροῦντες αὐτά.

Ἦχος α'.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων· καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος (δίς).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος β'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὸ αὐτὸ ἰδιόμελον.

Ἦχος β'.

Στίχος γ'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὁ τῆς ψυχῆς ῥαθυμίᾳ νυστάξας, οὐ κέκτημαι, νυμφίε Χριστὲ, καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν, καὶ νεάνισιν ὡμοιώθην μωραῖς, ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος· τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου μὴ κλείσῃς μοι, Δέσποτα· ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον, ἐξανάστησον, καὶ ταῖς φρονίμοις συνεισάγαγε παρθένοις εἰς νυμφῶνα τὸν σὸν, ὅπου ἦχος καθαρὸς ἑορταζόντων καὶ βοώντων ἀπαύστως· Κύριε, δόξα σοι (δίς).

Στίχος δ'. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τὸ αὐτὸ ἰδιόμελον.

Δόξα καὶ νῦν. Ἦχος δ'.

Τοῦ κρύψαντος τὸ τάλαντον τὴν κατάκρισιν ἀκούσασα, ψυχὴ, μὴ κρύπτε λόγον Θεοῦ· κατάγγελε τὰ θαυμάσια αὐτοῦ, ἵνα πλεονάζουσα τὸ χάρισμα, εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Σοὶ δόξα πρέπει. Συναπτὴ μεγάλη.

Εἰς τὰ ἀπόστιχα, τὰ παρόντα ἰδιόμελα.

Ἦχος πλ. β'.

Δεῦτε, πιστοὶ, ἐπεργασώμεθα προθύμως τῷ Δεσπότῃ· νέμει γὰρ τοῖς δούλοις τὸν πλοῦτον· καὶ ἀναλόγως ἕκαστος πολυπλασιάσωμεν τὸ τῆς χάριτος τάλαντον· ὁ μὲν σοφίαν κομιείτω δι' ἔργων ἀγαθῶν· ὁ δὲ λειτουργίαν λαμπρότητος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐπιτελείσθω· κοινωνείτω δὲ τοῦ λόγου πιστὸς τῷ ἀμυήτῳ· καὶ σκορπιζέτω τὸν πλοῦτον πένησιν ἄλλος· οὕτω γὰρ τὸ δάνειον πολυπλασιάσωμεν, καὶ, ὡς οἰκονόμοι πιστοὶ τῆς χάριτος, δεσποτικῆς χαρᾶς ἀξιωθῶμεν· αὐτῆς ἡμᾶς καταξίωσον, Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος.

Στίχος α'. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακὰ, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ὅταν ἔλθῃς ἐν δόξῃ μετ' ἀγγελικῶν Δυνάμεων, καὶ καθίσῃς ἐν θρόνῳ, Ἰησοῦ, διακρίσεως, μή με, Ποιμὴν ἀγαθὲ, διαχωρίσῃς· ὁδοὺς δεξιὰς γὰρ οἶδας, διεστραμμέναι δέ εἰσιν αἱ εὐώνυμοι· μὴ οὖν ἐρίφοις με τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς, ἀλλὰ τοῖς ἐκ δεξιῶν συναριθμήσας προβάτοις, σῶσόν με, ὡς φιλάνθρωπος.

Στίχος β'. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς· καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς· καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ὁ Νυμφίος, ὁ κάλλει ὡραῖος παρὰ πάντας ἀνθρώπους, ὁ συγκαλέσας ἡμᾶς πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου, τὴν δυσείμονά μου μορφὴν, τῶν πταισμάτων ἀπαμφίεσιν, τῇ μεθέξει τῶν παθημάτων σου, καὶ στολὴν δόξης κοσμήσας τῆς σῆς ὡραιότητος, δαιτυμόνα φαιδρὸν ἀνάδειξον τῆς βασιλείας σου, ὡς εὔσπλαγχνος.

Δόξα καὶ νῦν. Ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον ὁ Δεσπότης ἐμπιστεύει, ψυχή μου· φόβῳ δέξαι τὸ χάρισμα, δάνεισαι τῷ δεδωκότι, διάδος πτωχοῖς καὶ κτῆσαι φίλον τὸν Κύριον· ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ, ὅταν ἔλθῃ ἐν δόξῃ, καὶ ἀκούσῃς μακαρίας φωνῆς· Εἴσελθε,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῆς ἀξίωσόν με, Σωτὴρ, τὸν πλανηθέντα, διὰ τὸ μέγα σου ἔλεος.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Τὸ Κοντάκιον· Τὴν ὥραν ψυχή. Κύριε ἐλέησον ιβ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς. Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ προεστώς. Ἐπουράνιε βασιλεῦ.

Εἶτα ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες μυστικῶς τὴν προγραφεῖσαν εὐχὴν τοῦ ἁγίου Ἐφραίμ: Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου (σελ. 26).

Ἀπόλυσις. Δόξα σοι, ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ἐρχόμενος ὁ Κύριος. Δι' εὐχῶν.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

### ΕΝ ΤΑΙΣ ΩΡΑΙΣ

Πρὸ τοῦ Εὐλογητοῦ ἀναγινώσκονται ἕτερα πέντε Καθίσματα τοῦ Ψαλτηρίου καὶ αἱ Ὧραι λιταὶ, ὡς τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ (σελ. 27).

Εἰς τὴν ΣΤ' ὥραν Τροπάριον τῆς προφητείας.

Ἦχος α'.

Τοῖς ἀμέτρως πταίουσι πλουσίως συγχώρησον, Σωτήρ· ἀξίωσον ἡμᾶς ἀκατακρίτως προσκυνῆσαί σου τὴν ἁγίαν Ἀνάστασιν, πρεσβείαις τῆς παναχράντου σου μητρὸς, μόνε πολυέλεε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀξίωσον ἡμᾶς ἀκατακρίτως προσκυνῆσαί σου τὴν ἁγίαν Ἀνάστασιν, πρεσβείαις τῆς παναχράντου σου μητρὸς, μόνε πολυέλεε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῖς ἀμέτρως πταίουσι κτλ.

Προκείμενον ἦχος πλ. β'

## ΨΑΛΜΟΣ 129.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε. Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (Κεφ. Α'. 21).

Ἐν τῷ πορεύεσθαι τὰ ζῶα ἐπορεύοντο καὶ οἱ τροχοὶ, καὶ ἐν τῷ ἑστάναι αὐτὰ, ἑστήκεισαν, καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς, ἐξήροντο σὺν αὐτοῖς καὶ οἱ τροχοί, διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. Καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐτῶν τῶν ζώων, ὡσεὶ στερέωμα, ὡς ὅρασις κρυστάλλου, ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν· καὶ ὑποκάτω τοῦ στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι, πτερυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ, ἑκάστῳ δύο συνεζευγμέναι καὶ ἐπικαλύπτουσαι τὰ σώματα αὐτῶν. Καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν, ἐν τῷ πτερύσσεσθαι αὐτὰ, ὡς φωνὴν ὕδατος πολλοῦ, καὶ ὡς φωνὴν Θεοῦ Σαδδαὶ ἱκανοῦ, ἐν τῷ πορεύεσθαι αὐτά· φωνὴ τοῦ λόγου, ὡς φωνὴ παρεμβολῆς· καὶ ἐν τῷ ἑστάναι αὐτὰ, κατέπαυον αἱ πτέρυγες αὐτῶν. Καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ στερεώματος, τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἐν τῷ ἑστάναι αὐτὰ, ἀνίεντο αἱ πτέρυγες αὐτῶν· καὶ ὑπεράνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς αὐτῶν, ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα θρόνου ἐπ' αὐτοῦ· καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου, ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν. Καὶ εἶδον ὡς ὄψιν ἠλέκτρου, ὡς ὅρασιν πυρὸς ἔσωθεν αὐτοῦ κύκλῳ, ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω· καὶ ἀπὸ ὁράσεως ὀσφύος ἕως κάτω, εἶδον ὅρασιν πυρὸς, καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

φέλη ἐν ἡμέρᾳ ὑετοῦ, οὕτως ἡ στάσις τοῦ φέγγους κυκλόθεν. Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου.

Προκείμενον ἦχος δ'. Ψαλμ. 130. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Στίχ. Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, κτλ.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν καὶ τὸ ΙΗ' Κάθισμα τοῦ Ψαλτηρίου ἱστῶμεν στίχους ς', ψάλλοντες τὰ ἓξ ἰδιόμελα τῶν Αἴνων καὶ τῶν Ἀποστίχων, ἅπερ ἐψάλησαν ἐν τῷ ὄρθρῳ (ὅρα σελ. 101).

Ἐν ταῖς λαμπρότησι.
Ὁ τῆς ψυχῆς ῥαθυμίᾳ.
Τοῦ κρύψαντος τὸ τάλαντον.
Δεῦτε πιστοί.
Ὅταν ἔλθῃς ἐν δόξῃ.
Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος.

Δόξα καὶ νῦν. Ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν· καὶ τὰ ἀναγνώσματα.

Ἑσπέρας, Προκείμενον ἦχος πλ. β'.

### ΨΑΛΜΟΣ 131.

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχ. Μνήσθητι, Κύριε, τοῦ Δαυΐδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

(Κεφ. Β'. 6).

Κατέβη ἡ θυγάτηρ Φαραὼ, λούσασθαι ἐπὶ τὸν ποταμὸν, καὶ αἱ ἄβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν. Καὶ ἰδοῦσα θίβην ἐν τῷ ἕλει, ἀποστείλασα τὴν ἄβραν, ἀνείλετο αὐτήν. Ἀνοίξασα δὲ, ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβῃ· καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ Φαραὼ, καὶ ἔφη· ἀπὸ τῶν παιδίων τῶν ἑβραίων τοῦτο. Καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραώ· θέλεις καλέσω γυναῖκα τροφεύουσαν ἐκ τῶν ἑβραίων, καὶ θηλάσει σοι τὸ παιδίον; Καὶ εἶπεν αὐτῇ ἡ θυγάτηρ Φαραώ· Πορεύου. Ἐλθοῦσα δὲ ἡ νεᾶνις, ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου. Εἶπε δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ Φαραώ· διατήρησόν μοι τὸ παιδίον τοῦτο, καὶ θήλασόν μοι αὐτό· ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. Ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον, καὶ ἐθήλαζεν αὐτό. Ἀνδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ. Καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωϋσῆν, λέγουσα· ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην.

Προκείμενον ἦχος δ'.

## ΨΑΛΜΟΣ 132.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

Στίχ. Ὡς μῦρον ἐπὶ κεφαλὴν, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών.

Ἰὼβ τὸ ἀνάγνωσμα.

(Κεφ. Α'. 13).

Ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ἤσθιον καὶ ἔπινον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου. Καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰὼβ καὶ εἶπεν αὐτῷ· τὰ ζεύγη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν· καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες, ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτεινον ἐν στόματι μαχαίρας· σωθεὶς δὲ ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰὼβ καὶ εἶπε· πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέκαυσεν ὁμοίως· καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰὼβ καὶ λέγει αὐτῷ· οἱ ἱππεῖς ἐποίησαν ἡμῖν ἀρχὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις· ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται πρὸς Ἰὼβ, λέγων· τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ υἱῷ σου, τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἦλθεν ἀπὸ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν· καὶ ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Οὕτως ἀκούσας Ἰὼβ, ἀναστὰς διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, καὶ πεσὼν χαμαὶ προσεκύνησε τῷ Κυρίῳ καὶ εἶπεν· αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ. οὐδὲν ἥμαρτεν Ἰὼβ ἔναντι Κυρίου, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ· καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.

Εἶτα· Κατευθυνθήτω ἡ προσευχή μου· καὶ τὸ Εὐαγγέλιον.

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΔ'. 36—51. ΚΕ'. 1—46 καὶ ΚΣΤ'. 1 2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τήρ μου μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται· δύο ἀλήθουσαι ἐν τῷ μυλῶνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ἡ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θυρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε, κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν εἰργάσατο ἐν αὐτοῖς καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. Ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. Ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει λόγον μετ' αὐτῶν. Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων· κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν εἶπε· κύριε, δύο ταλαντά μοι παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σὲ καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε· κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῷ· πονηρὲ δοῦλε καὶ ὀκνηρέ! ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα! ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ· καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπισκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν; Πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν, ἢ γυμνὸν καὶ περιεβάλομεν; Πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς λέγων· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους εἶπε τοῖς μαθηταῖς αὐτοῦ· οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων, ὡς ἐν σελ. 49—66.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

### ΕΝ ΤΩ ΑΠΟΔΕΙΠΝΩ

Τὸ ἑσπέρας τὸ Μέγα ἀπόδειπνον (σελ. 66—94). Μετὰ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλεται τὸ παρὸν Τριῴδιον, ἀρχομένου τοῦ α' χοροῦ.

Ποίημα Ἀνδρέου Κρήτης.

Ὠδὴ γ'. Ἦχος β'. Ὁ Εἱρμός.

» Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς ἀνάδειξόν
» με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐ-
» σπλαγχνίᾳ σου».

Συντελείας ὁ καιρὸς, ἐπιστρέψωμεν λοιπὸν, Χριστὸς διδάσκει· ἥξει γὰρ ἐν ριπῇ, ἥξει οὐ χρονιεῖ, κρῖναι τὸν κόσμον αὐτοῦ.

Τὸ ἀθρόον τῆς αὐτοῦ παρουσίας ὁ Χριστὸς δηλῶν εἰρήκει, τὴν τοῦ Νῶε ποτε ἀπροσδόκητον φθορὰν, ἐπενεχθεῖσαν τῇ γῇ.

Ηνεῴχθη ὁ νυμφὼν, ηὐτρεπίσθη σὺν αὐτῷ ὁ θεῖος γάμος, ὁ Νυμφίος ἐγγὺς, προσκαλούμενος ἡμᾶς· ἑτοιμασθῶμεν λοιπόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἡ τοῦ Σίμωνος σκηνή, τὸν ἀχώρητον παντὶ ἐχώρησέ σε, Ἰησοῦ βασιλεῦ, καὶ γυνὴ ἁμαρτωλὸς μύρῳ σε ἤλειψεν.

Εὐωδίας μυστικῆς πληρουμένη ἡ γυνή, τῆς πρὶν ἐρρύσθη δυσωδίας, Σωτήρ, τῶν πολλῶν ἁμαρτιῶν· μύρον γὰρ βρύεις ζωῆς.

Ἐπουράνιος τροφὴ τῶν πεινώντων ἡ ζωή, αὐτὸς ὑπάρχων, εἱστιάθης Χριστέ, τοῖς ἀνθρώποις προδεικνὺς σὴν συγκατάβασιν.

Ὁ ἀγνώμων μαθητὴς ἀθετήσας σε, Χριστέ, τὴν σπεῖραν ὅλην τῶν ἀνόμων λαῶν συνεκίνει κατὰ σοῦ, εἰς προδοσίαν τραπείς.

Δόξα.

Σὺν Πατρί σε τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ εὐθές, τὴν μίαν φύσιν, προσκυνῶ καὶ ἀνυμνῶ, τοῖς προσώποις διαιρῶν καὶ τῇ οὐσίᾳ ἑνῶν.

Καὶ νῦν. Θεοτόκιον.

Ἡ τεκοῦσα σε Ἀμνὰς τὸν ποιμένα καὶ ἀμνὸν ἀεὶ πρεσβεύει, Ἰησοῦ ὁ Θεός, ὑπὲρ πάντων γηγενῶν, τῶν πιστευόντων εἰς σέ.

Κάθισμα, ἦχος α'. Χορὸς ἀγγελικός.

Ἰδοὺ τὸ πονηρὸν βουλευτήριον ὄντως, συνῆκται δυσμενῶς, ὡς κριτὴν καταχρῖναι, τὸν ἄνω καθεζόμενον, ὡς κριτὴν πάντων Κύριον· νῦν ἀθροίζεται σὺν τῷ Πιλάτῳ Ἡρώδης, Ἄννας, ἅμα τε καὶ Καϊάφας, ἐτάσαι τὸν μόνον μακρόθυμον.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

» Τὸν ἐν βάτῳ Μωσῇ τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ
» τῷ ὄρει, προτυπώσαντά ποτε, ὑμνεῖτε, εὐλογεῖτε καὶ
» ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας». (Δίς).

Οὐκ ἀγνοῶν τὸν καιρὸν τῆς ἡμῶν συντελείας, ὁ κρατῶν τοὺς αἰῶνας, τὴν ἡμέραν ἀγνοεῖν προέφησεν ἐκείνην, ἀλλ' ὅρους πᾶσι τιθεὶς πρὸς μετριοφροσύνην.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὅταν καθίσῃς κριτής, ἀφορίζων, ὡς εἶπας, ὁ ποιμὴν τῶν προβάτων, τὰ ἐρίφια, Σωτήρ, τῆς στάσεως ἐκείνης, μὴ ὑστερήσῃς ἡμᾶς τῆς θείας δεξιᾶς σου.

Σὺ εἶ τὸ Πάσχα ἡμῶν, ὁ τιθεὶς ὑπὲρ πάντων, ὡς Ἀμνὸς καὶ θυσία καὶ πταισμάτων ἱλασμός, καὶ σοῦ τὰ θεῖα πάθη ὑπερυψοῦμεν, Χριστέ, εἰς πάντας τοὺς αἰῶνας.

Μύλωνι ἔοικέ σοι καὶ ἀγρῷ καὶ οἰκίᾳ πᾶς ὁ βίος ψυχή μου· διὸ κτῆσαι εἰς Θεὸν ἑτοίμην τὴν καρδίαν, ἵνα μηδὲν τῇ φθορᾷ τῆς σαρκὸς καταλίπῃς.

Οὐ φαρισαίοις, Σωτήρ, οὐ τῷ Σίμωνι μόνῳ, κατηξίωσας ἅμα εἰς ἑστίαν ἐλθεῖν, ἀλλ' ἤδη καὶ τελῶναι ὁμοῦ καὶ πόρναι τὴν σὴν ἀντλοῦσιν εὐσπλαγχνίαν.

Φιλαργυρίας ἐρῶν ὁ προδότης Ἰούδας, κενωθέντος τοῦ μύρου, ἐμελέτησε λοιπὸν τὴν πρᾶσιν τοῦ Δεσπότου, καὶ πρὸς ἀνόμους ἐλθὼν τὴν τιμὴν συνεφώνει.

Ὢ μακαρίων χειρῶν, ὢ τριχῶν καὶ χειλέων, τῶν τῆς σώφρονος πόρνης! αἷς ἐπέχεε, Σωτήρ, τὸ μύρον πρὸς σοὺς πόδας, ἐκμασσομένη αὐτούς, πυκνῶς καταφιλοῦσα.

Ἀνακειμένῳ γυνὴ ἐπιστᾶσά σοι, Λόγε, πρὸς τοὺς πόδας θρηνοῦσα, τὸ ἀλάβαστρον, Σωτήρ, τοῦ μύρου κατακένου ἐπὶ τὴν σὴν κεφαλήν, τοῦ ἀθανάτου μύρου.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Σὺν τῷ Πατρὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν θεότητι μιᾷ, δοξάζομεν βοῶντες· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Ταῖς ἱκεσίαις, Σωτήρ, τῆς ἀχράντου μητρός σου, καὶ τῶν σῶν Ἀποστόλων, τὰ ἐλέη σου ἡμῖν κατάπεμψον πλουσίως, καὶ τὴν εἰρήνην τὴν σὴν παράσχου τῷ λαῷ σου.

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

'Ωδὴ Θ'. Ὁ Εἱρμός.

» Τὴν ὑπερφυῶς σαρκὶ συλλαβοῦσαν ἐν γαστρὶ, τὸν ἐκ
» Πατρὸς ἀχρόνως προεκλάμψαντα Λόγον, τὴν μόνην
» Θεοτόκον, μεγαλύνομεν πιστῶς». (Δίς).

Ἐργασίας ὁ καιρὸς, σωτηρίας ὁ σκοπὸς, τὸ τάλαντον λαβοῦσα, τὴν ἀρχαίαν εἰκόνα, ψυχή μου, ἐμπορεύου τὴν αἰώνιον ζωήν.

Ὡς λαμπάδας φωτεινὰς, κοσμηθέντες τὰς ψυχὰς, τῷ Νυμφίῳ χωροῦντι, πρὸς τὸν ἄφθαρτον γάμον, πρὸ τοῦ τὴν θύραν κλεῖσαι, συνεισέλθωμεν αὐτῷ.

Δεῖξαι θέλων, Ἰησοῦ, τὸ ὑπερφυὲς τῆς σῆς ταπεινώσεως πᾶσιν, εἱστιάθης ἐν οἴκῳ τοῦ Σίμωνος δειπνήσας, τῶν πεινώντων ἡ τροφή.

Ἄρτος ὢν ζωοποιὸς, εἱστιάθης, Ἰησοῦ, Σίμωνι φαρισαίῳ, ἵνα πόρνη κερδήσῃ τὴν ἄπρατόν σου χάριν, τοῦ μύρου τῇ κενώσει.

Χεῖρες ἐμοὶ ῥυπαραὶ, χείλη πόρνης ἐν ἐμοὶ, ἄναγνός μου ὁ βίος, ἐφθαρμένα τὰ μέλη· ἀλλ' ἄνες μοι καὶ ἄφες, βοᾷ πόρνη τῷ Χριστῷ.

Ἐπιστᾶσα ἡ γυνὴ πρὸς τοὺς πόδας σου, Σωτὴρ, ἐπέχεε τὸ μύρον, εὐωδίας πληροῦσα καὶ μύρου πληρουμένη, τοῦ τῶν ἔργων ἱλασμοῦ.

Μύρον παρ' ἐμοὶ φθαρτὸν, μύρον παρὰ σοὶ ζωῆς· μύρον γὰρ ὄνομά σοι, κενωθὲν τοῖς ἀξίοις· ἀλλ' ἄνες μοι καὶ ἄφες, βοᾷ πόρνη τῷ Χριστῷ.

Ἀρωμάτων εὐπορῶ, ἀρετῶν δὲ ἀπορῶ, ἃ ἔχω σοὶ προσάγω, δὸς αὐτὸς ἅπερ ἔχεις, καὶ ἄνες μοι καὶ ἄφες, βοᾷ πόρνη τῷ Χριστῷ. Δόξα.

Ἄναρχος εἶ ὁ Πατὴρ, ἄκτιστος εἶ ὁ Υἱὸς, σύνθρονον καὶ τὸ Πνεῦμα, ἓν τὰ τρία τῇ φύσει, καὶ τρία τοῖς προσώποις, εἷς Θεὸς ἀληθινός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ νῦν. Θεοτόκιον.

Θεοτόκε ἡ ἐλπὶς τῶν τιμώντων σε ἀεί, μὴ παύσῃ δυσωποῦσα τὸν ἐκ σοῦ γεννηθέντα, ρυσθῆναί με κινδύνων καὶ παντοίων πειρασμῶν.

Καὶ τὰ λοιπὰ τοῦ μεγάλου Ἀποδείπνου. Εἰς τὴν συγχώρησιν τὸ Σφαγήν σου τὴν ἄδικον (ὅρα σελ. 93). Λήγει δὲ τὴν ἑσπέραν ταύτην τὸ μέγα Ἀπόδειπνον.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤ.

### ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Εὐλογητόν, τὸ Τρισάγιον, τὸ Ἐπακοῦσαί σου Κύριος, ὁ Ἑξάψαλμος, εἶτα τὸ Ἀλληλούϊα καὶ τὸ Ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ὡς ἐν σελ. 34. Εἶτα ψάλλομεν τὰ ἑπόμενα τρία Καθίσματα εἰς δ'.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Πόρνη προσῆλθέ σοι, μύρα σὺν δάκρυσι κατακενοῦσά σου ποσί, Φιλάνθρωπε, καὶ δυσωδίας τῶν κακῶν λυτροῦται τῇ κελεύσει σου· πνέων δὲ τὴν χάριν σου μαθητὴς ὁ ἀχάριστος, ταύτην ἀποβάλλεται, καὶ βορβόρῳ συμφύρεται, φιλαργυρίᾳ ἀπεμπολῶν σε. Δόξα, Χριστέ, τῇ εὐσπλαγχνίᾳ σου.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἰούδας ὁ δόλιος φιλαργυρίας ἐρῶν, προδοῦναί σε, Κύριε, τὸν θησαυρὸν τῆς ζωῆς δολίως ἐμελέτησεν. Ὅθεν καὶ παροινήσας, τρέχει πρὸς Ἰουδαίους, λέγει τοῖς παρανόμοις· τί μοι θέλετε δοῦναι, κἀγὼ παραδώσω ὑμῖν, εἰς τὸ σταυρῶσαι αὐτόν;

Δόξα καὶ νῦν.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ. (Δίς).

Ἡ πόρνη ἐν κλαυθμῷ ἀνεβόα, οἰκτίρμων, ἐκμάσσουσα θερμῶς τοὺς ἀχράντους σου πόδας, θριξὶ τῆς κεφαλῆς αὐτῆς,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καὶ ἐκ βάθους στενάζουσα· μὴ ἀπώσῃ με, μηδὲ βδελύξῃ, Θεέ μου, ἀλλὰ δέξαι με μετανοοῦσαν καὶ σῶσον, ὡς μόνος φιλάνθρωπος.

Εὐαγγέλιον.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ (ΚΕΦ. ΙΒ΄. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος ὁ ὢν μετὰ τοῦ Ἰησοῦ ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. Ἦσαν δέ τινες ἕλληνες ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ. Οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες· κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸ τοῦ ἀνθρώπου. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ. Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγε βροντὴν γεγονέναι· ἄλλοι ἔλεγον· ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τοῦτο δὲ ἔλεγε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, καὶ πῶς σὺ λέγεις, δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ ὃν εἶπε· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;» Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· «τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ καὶ ἐπιστραφῶσι, καὶ ἰάσομαι αὐτούς». Ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ. Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. Καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ αὐτός μοι ἐντολὴν ἔδωκε τί εἴπω καὶ τί λαλήσω· καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. Ἃ οὖν λαλῶ ἐγώ, καθὼς εἴρηκέ μοι ὁ πατήρ, οὕτω λαλῶ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ Ν' καὶ τὸ ἑπόμενον Τριῴδιον.

Ὠδὴ Γ'. Ἦχος β'. Ὁ Εἱρμός. Δίς.

» Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας τὸ » στόμα μου ἐπ' ἐχθρούς μου· εὐφράνθη γὰρ τὸ πνεῦμά » μου ἐν τῷ ψάλλειν· οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ » οὐκ ἔστι δίκαιος πλήν σου, Κύριε».

Τροπάρια. Δόξα.

Ἐν καινοῖς τὸ συνέδριον τῶν ἀνόμων, καὶ γνώμη συναθροίζεται κακοτρόπῳ, κατάκριτον τὸν ρύστην σε ἀποφῆναι, Χριστέ, ᾧ ψάλλομεν· σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε.

Καὶ νῦν.

Τὸ δεινὸν βουλευτήριον τῶν ἀνόμων, σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχον, ὡς δύσχρηστον τὸν δίκαιον ἀποκτεῖναι Χριστόν, ᾧ ψάλλομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε.

Καταβασία. Τῆς πίστεως ἐν πέτρᾳ με.

Μικρὰ συναπτή. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεύς.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὑπὲρ τὴν πόρνην, ἀγαθέ, ἀνομήσας, δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα· ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι, πόθῳ ἀσπαζόμενος τοὺς ἀχράντους σου πόδας, ὅπως μοι τὴν ἄφεσιν, ὡς Δεσπότης, παράσχῃς τῶν ὀφλημάτων κράζοντι, Σωτήρ· ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ρῦσαί με.

Ὁ Οἶκος. Ὁ μετὰ τρίτον οὐρανόν.

Ἡ πρῴην ἄσωτος γυνή, ἐξαίφνης σώφρων ὤφθη, μισήσασα τὰ ἔργα τῆς αἰσχρᾶς ἁμαρτίας καὶ ἡδονὰς τοῦ σώματος, διενθυμουμένη τὴν αἰσχύνην τὴν πολλήν, καὶ κρίσιν τῆς κολάσεως, ἣν ὑποστῶσι πόρνοι καὶ ἄσωτοι· ὧνπερ πρῶτος πέλω καὶ πτοοῦμαι, ἀλλ' ἐμμένω τῇ φαύλῃ συνηθείᾳ ὁ ἄφρων· ἡ πόρνη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δὲ γυνὴ, καὶ πτοηθεῖσα καὶ σπουδάσασα ταχὺ, ἦλθε βοῶσα πρὸς τὸν Λυτρωτήν· φιλάνθρωπε καὶ οἰκτίρμων, ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Τὸ Μηνολόγιον. Εἶτα τὸ παρὸν ὑπόμνημα.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Τετάρτῃ, τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ πόρνης γυναικὸς μνείαν ποιεῖσθαι οἱ θειότατοι πατέρες ἐθέσπισαν, ὅτι πρὸ τοῦ σωτηρίου πάθους μικρὸν τοῦτο γέγονε.

Στίχοι.

Γυνὴ βαλοῦσα σώματι Χριστοῦ μῦρον
τὴν Νικοδήμου προὔλαβε σμυρναλόην.

Ἀλλ' ὁ τῷ νοητῷ μύρῳ χρισθεὶς, Χριστὲ ὁ Θεὸς, τῶν ἐπιρρύτων παθῶν ἐλευθέρωσον, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ Η΄. Ὁ Εἱρμός.

» Ρῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος
» ἐξεκαύθη ποτέ· ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν, βασιλέως
» πατήσαντες δόγμα, ἀλλ' ἐβόων· πάντα τὰ ἔργα Κυρίου τὸν
» Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Ἀποκενοῦσα γυνὴ μῦρον ἔντιμον, δεσποτικῇ καὶ θείᾳ φρικτῇ κορυφῇ, Χριστὲ, τῶν ἰχνῶν σου ἐπελάβετο τῶν ἀχράντων, κεχραμέναις παλάμαις, καὶ ἐβόα· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Δάκρυσι πλύνει τοὺς πόδας ὑπεύθυνος, ἁμαρτίαις τοῦ πλάσαντος, καὶ ἐκμάσσει θριξί· διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε πεπραγμένων τῆς ἀπολυτρώσεως, ἀλλ' ἐβόα· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ νῦν.

Ιερουργεῖται τὸ λύτρον εὐγνώμονι, ἐκ σωτηρίων σπλάγχνων τε καὶ δακρύων πηγῆς, ἐν ᾗ διὰ τῆς ἐξαγορεύσεως, ἐκπλυνθεῖσα οὐ κατῃσχύνετο, ἀλλ' ἐβόα· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν κτλ. καὶ εὐθὺς Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός.

Καταβασία. Ρῆμα τυράννου.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

» Ψυχαῖς καθαραῖς καὶ ἀρρυπώτοις χείλεσι, δεῦτε μεγα-
» λύνωμεν τὴν ἀκηλίδωτον καὶ ὑπέραγνον μητέρα τοῦ
» Ἐμμανουὴλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς προσφέροντες πρε-
» σβείαν τεχθέντι· φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς,
» καὶ σῶσον ἡμᾶς».

Αγνώμων φανεὶς καὶ πονηρὸς ζηλότυπος, δῶρον ἀξιόθεον λογοπραγεῖ, δι' οὗ ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων, καπηλεύων ὁ δεινὸς Ἰούδας τὴν φιλόθεον χάριν· φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Δόξα.

Λέγει πορευθεὶς τοῖς παρανόμοις ἄρχουσι· τί μοι δοῦναι θέλετε, κἀγὼ Χριστὸν ὑμῖν τὸν ζητούμενον, τοῖς θέλουσι, παραδώσω; οἰκειότητα Χριστοῦ Ἰούδας ἀντωσάμενος χρυσοῦ. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

Ω πηρωτικῆς φιλαργυρίας, ἄσπονδε· λήθης ὅθεν ἔτυχες, ὅτι ψυχῆς, οὐδ' ὃς ἰσοστάσιος ὁ κόσμος, ὡς ἐδιδάχθης· ἀπογνώσῃ γὰρ σεαυτὸν, ἐβρόχισας ἀνάψας, προδότα. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Καταβασία. Ψυχαῖς καθαραῖς.

Συναπτὴ μικρά. Ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἐξαποστειλάριον.

Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, Φωτοδότα, καὶ σῶσόν με. (Τρίς).

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ', ψάλλοντες τὰ παρόντα στιχηρὰ ἰδιόμελα.

Στίχος α'. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἦχος α'.

Σὲ τὸν τῆς Παρθένου Υἱόν, πόρνη ἐπιγνοῦσα Θεὸν ἔλεγεν, ἐν κλαυθμῷ δυσωποῦσα, ὡς δακρύων ἄξια πράξασα· διάλυσον τὸ χρέος, ὡς κἀγὼ τοὺς πλοκάμους· ἀγάπησον φιλοῦσαν, τὴν δικαίως μισουμένην, καὶ πλησίον τελωνῶν σε κηρύξω, εὐεργέτα φιλάνθρωπε.

Στίχος β'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὸ πολυτίμητον μύρον ἡ πόρνη ἔμιξε μετὰ δακρύων, καὶ ἐξέχεεν εἰς τοὺς ἀχράντους πόδας σου, καταφιλοῦσα· ἐκείνην εὐθὺς ἐδικαίωσας, ἡμῖν δὲ συγχώρησιν δώρησαι, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Στίχος γ'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὅτε ἡ ἁμαρτωλὸς προσέφερε τὸ μύρον, τότε ὁ μαθητὴς συνεφώνει τοῖς παρανόμοις· ἡ μὲν ἔχαιρε κενοῦσα τὸ πολύτιμον, ὁ δὲ ἔσπευδε πωλῆσαι τὸν ἀτίμητον· αὕτη τὸν Δεσπότην ἐπεγίνωσκεν, οὗτος τοῦ Δεσπότου ἐχωρίζετο· αὕτη ἠλευθεροῦτο, καὶ ὁ Ἰούδας δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ. Δεινὸν ἡ ῥαθυμία! μεγάλη ἡ μετάνοια, ἥν μοι δώρησαι, Σωτήρ, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος δ'. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ω τῆς Ἰούδα ἀθλιότητος! Ἐθεώρει τὴν πόρνην φιλοῦσαν τὰ ἴχνη, καὶ ἐσκέπτετο δόλῳ τῆς προδοσίας τὸ φίλημα· ἐκείνη τοὺς πλοκάμους διέλυσε, καὶ οὗτος τῷ θυμῷ ἐδεσμεῖτο, φέρων ἀντὶ μύρου τὴν δυσώδη κακίαν· φθόνος γὰρ οὐκ οἶδε προτιμᾷν τὸ συμφέρον. Ὢ τῆς Ἰούδα ἀθλιότητος! Ἀφ' ἧς ρῦσαι ὁ Θεὸς τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β'.

Η ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μύρον, πριάσασθαι πολύτιμον μύρον, τοῦ μυρίσαι τὸν εὐεργέτην, καὶ τῷ μυρεψῷ ἐβόα· δός μοι τὸ μύρον, ἵνα ἀλείψω κἀγὼ τὸν ἐξαλείψαντά μου πάσας τὰς ἁμαρτίας. Καὶ νῦν. Ἦχος πλ. β'.

Η βεβυθισμένη τῇ ἁμαρτίᾳ εὗρέ σε λιμένα τῆς σωτηρίας, καὶ μύρον σὺν δάκρυσι κενοῦσά σοι ἐβόα· ἴδε ὁ τῶν ἁμαρτανόντων τὴν μετάνοιαν φέρων. Ἀλλά, Δέσποτα, διάσωσόν με ἐκ τοῦ κλύδωνος τῆς ἁμαρτίας, διὰ τὸ μέγα σου ἔλεος.

Σοὶ δόξα πρέπει. Μετὰ δὲ τὸ Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἄρχεται τῶν ἀποστίχων ὁ ἀριστερὸς χορός.

Ἦχος πλ. β'.

Σήμερον ὁ Χριστὸς παραγίνεται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, καὶ γυνὴ ἁμαρτωλὸς προσελθοῦσα τοῖς ποσὶν ἐκυλινδοῦτο, βοῶσα· ἴδε τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ, τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις, τὴν μὴ βδελυχθεῖσαν παρὰ τῆς σῆς ἀγαθότητος· καὶ δός μοι, Κύριε, τὴν ἄφεσιν τῶν κακῶν, καὶ σῶσόν με.

Στίχος α'. Ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.

Ἥπλωσεν ἡ πόρνη τὰς τρίχας σοὶ τῷ Δεσπότῃ· ἥπλωσεν Ἰούδας τὰς χεῖρας τοῖς παρανόμοις· ἡ μὲν λαβεῖν τὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἄφεσιν, ὁ δὲ λαβεῖν ἀργύρια. Διό σοι βοῶμεν τῷ πραθέντι καὶ ἐλευθερώσαντι ἡμᾶς· Κύριε, δόξα σοι.

Στίχος β'. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Προσῆλθε γυνὴ δυσώδης καὶ βεβορβορωμένη, δάκρυα προχέουσα ποσί σου, Σωτὴρ, τὸ πάθος καταγγέλλουσα. Πῶς ἀτενίσω σοι τῷ Δεσπότῃ; αὐτὸς γὰρ ἐλήλυθας σῶσαι πόρνην· ἐκ βυθοῦ θανοῦσάν με ἀνάστησον, ὁ τὸν Λάζαρον ἐγείρας ἐκ τάφου τετραήμερον· δέξαι με τὴν τάλαιναν, Κύριε, καὶ σῶσόν με.

Στίχος γ'. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον, τὸ μύρον βαστάζουσα, προσῆλθέ σοι βοῶσα· μή με τὴν πόρνην ἀπορρίψῃς, ὁ τεχθεὶς ἐκ Παρθένου· μή μου τὰ δάκρυα παρίδῃς, ἡ χαρὰ τῶν ἀγγέλων· ἀλλὰ δέξαι με μετανοοῦσαν, ἣν οὐκ ἀπώσω ἁμαρτάνουσαν, Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα καὶ νῦν. Ἰδιόμελον.
Ἦχος πλ. δ'.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνὴ, τὴν σὴν αἰσθομένη θεότητα, μυροφόρου ἀναλαβοῦσα τάξιν, ὀδυρομένη, μύρα σοι πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει. Οἴμοι! λέγουσα, ὅτι νύξ μοι ὑπάρχει, οἶστρος ἀκολασίας, ζοφώδης τε καὶ ἀσέληνος ἔρως τῆς ἁμαρτίας. Δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ· κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας, ὁ κλίνας τοὺς οὐρανοὺς τῇ ἀφάτῳ σου κενώσει. Καταφιλήσω τοὺς ἀχράντους σου πό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δας, ἀποσμήξω τούτους δὲ πάλιν τοῖς τῆς κεφαλῆς μου βοστρύχοις· ὧν ἐν τῷ παραδείσῳ Εὔα, τὸ δειλινὸν, κρότον τοῖς ὠσὶν ἠχηθεῖσα, τῷ φόβῳ ἐκρύβη. Ἁμαρτιῶν μου τὰ πλήθη καὶ κριμάτων σου ἀβύσσους τίς ἐξιχνιάσει, ψυχοσῶστα Σωτήρ μου; Μή με τὴν σὴν δούλην παρίδῃς, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

Εἶτα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Τρισάγιον. Καὶ τὰ λοιπὰ τῆς Ἀκολουθίας, ὡς προδεδήλωται ἐν σελ. 25—27.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ

### ΕΝ ΤΑΙΣ ΩΡΑΙΣ

Ἀναγινώσκονται ἕτερα πέντε Καθίσματα τοῦ Ψαλτηρίου καὶ οὕτω πληροῦται ὅλον τὸ Ψαλτήριον, καταλιμπανομένων τῶν δύο Καθισμάτων ΙΖ' καὶ ΙΗ', τοῦ μὲν ΙΖ' ὡς ἀναγνωσθησομένου ἐν τῷ Μ. Σαββάτῳ, τοῦ δὲ ΙΗ' ὡς ἀναγινωσκομένου ἐν ἑκάστῃ προηγιασμένῃ τῶν τριῶν ἡμερῶν τῆς ἑβδομάδος ταύτης. Ἐπίσης ἀναγινώσκονται καὶ αἱ Ὧραι λιταὶ, ὡς προεγράφη ἐν σελ. 27.

Ἐν δὲ τῇ ΣΤ' Ὥρᾳ Τροπάριον τῆς προφητείας.

Ἦχος β'.

Σήμερον τὸ πονηρὸν συνήχθη συνέδριον, καὶ κατὰ σοῦ κενὰ ἐμελέτησε· σήμερον ἐκ συμφώνου τὸν βρόχον Ἰούδας ἀρραβωνίζεται· Καϊάφας δὲ ἄκων ὁμολογεῖ, ὅτι εἷς ὑπὲρ πάντων ἀναδέχῃ τὸ πάθος ἑκούσιον. Λυτρωτὰ ἡμῶν, Χριστὲ ὁ Θεὸς, δόξα σοι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Λυτρωτὰ ἡμῶν, Χριστὲ ὁ Θεὸς, δόξα σοι.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σήμερον τὸ πονηρὸν κτλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προκείμενον, ἦχος πλ. δ'. Ψαλμὸς 133.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, καὶ ἴδῃς τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Στίχος. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα Κεφ. Β' καὶ Γ' 1—3.

Εἶπε Κύριος πρός με. Υἱὲ ἀνθρώπου, ἐξαποστελῶ ἐγὼ σε πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, τοὺς παραπικραίνοντάς με· οἵτινες παρεπίκρανάν με, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἠθέτησαν εἰς ἐμὲ, ἕως τῆς σήμερον ἡμέρας· καὶ υἱοὶ σκληροπρόσωποι καὶ στερεοκάρδιοι ἐγένοντο. Ἐγὼ ἀποστελῶ σε πρὸς αὐτοὺς, καὶ ἐρεῖς. Τάδε λέγει Κύριος. Ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσι, διότι οἶκος παραπικραίνων ἐστὶ, καὶ γνώσονται, ὅτι προφήτης εἶ σὺ ἐν μέσῳ αὐτῶν. Καὶ σὺ, υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτοὺς, μηδὲ ἐκστῇς ἀπὸ προσώπου αὐτῶν· διότι παροιστρήσουσι, καὶ ἐπιστήσονται ἐπὶ σὲ κύκλῳ, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς, καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς, διότι οἶκος παραπικραίνων ἐστί· καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτοὺς, ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν, ὅτι οἶκος παραπικραίνων ἐστί. Καὶ σὺ, υἱὲ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς σὲ, καὶ μὴ γίνου παραπικραίνων, καθὼς ὁ οἶκος ὁ παραπικραίνων· χάνε τὸ στόμα σου καὶ φάγε, ἃ ἐγὼ δίδωμί σοι. Καὶ εἶδον, καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρός με, καὶ ἐν αὐτῇ κεφαλὴ βιβλίου· καὶ ἀνείλισσεν αὐτὴν ἐνώπιόν μου, καὶ ἦν ἐν αὐτῇ γεγραμμένα τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν· καὶ ἐγέγραπτο ἐν αὐτῇ θρῆνος καὶ μέλος καὶ οὐαί. Καὶ εἶπε πρός με. Υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κεφαλίδα ταύτην, καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς Ἰσραήλ. Καὶ διήνοιξε τὸ στόμά μου, καὶ ἐψώμισέ με τὴν κεφαλίδα ταύτην· καὶ εἶπε πρός με. Υἱὲ ἀνθρώπου, τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία σου πλησθήσεται τῆς κεφαλίδος ταύτης, τῆς δεδομένης εἰς σέ. Καὶ ἔφαγον αὐτήν· καὶ ἐγένετο ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προκείμενον ἦχος β'. Ψαλμὸς 134.
Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.
Στίχ. Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον.
Μετὰ δὲ τὴν εὐχὴν, Παναγία Τριὰς (σελ. 48) μικρὰ ἀπόλυσις καὶ ἄρχεται ὁ Ἑσπερινός.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν (σελ. 49) καὶ τὰ Πρὸς Κύριον (σελ. 51), εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν πάντα τὰ στιχηρά, ἅπερ ὡς Αἶνοι καὶ Ἀπόστιχα ἐψάλησαν ἐν τῷ Ὄρθρῳ (σελ. 122).

Σὲ τὸν τῆς Παρθένου Υἱόν.
Τὸ πολυτίμητον μύρον.
Ὅτε ἡ ἁμαρτωλός.
Ὢ τῆς Ἰούδα ἀθλιότητος.
Ἡ ἁμαρτωλός.
Ἡ βεβυθισμένη.
Σήμερον ὁ Χριστός.
Ἥπλωσεν ἡ πόρνη.
Προσῆλθε γυνή.
Ἡ ἀπεγνωσμένη.

Δόξα καὶ νῦν.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις.
Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν. Τὰ Ἀναγνώσματα.

Ἑσπέρας προκείμενον ἦχος δ'.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 135.

Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα. (Κεφ. Β'. 11).

Ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις, μέγας γενόμενος Μωϋσῆς, ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, τοὺς υἱοὺς Ἰσραήλ. Κατανοήσας δὲ τὸν πόνον αὐτῶν, ὁρᾷ ἄνθρωπον Αἰγύπτιον, τύπτοντά τινα Ἑβραῖον, τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ἰσραήλ. Περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε, οὐχ ὁρᾷ οὐδένα· καὶ πατάξας τὸν Αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. Ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, ὁρᾷ δύο ἄνδρας Ἑβραίους, διαπληκτιζομένους, καὶ λέγει τῷ ἀδικοῦντι. Διὰ τί σὺ τύπτεις τὸν πλησίον; Ὁ δὲ εἶπε. Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; Ἐφοβήθη δὲ Μωϋσῆς καὶ εἶπεν. Εἰ οὕτως ἐμφανὲς γέγονε τὸ ῥῆμα τοῦτο! Ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν τὸν Μωϋσῆν. Ἀνεχώρησε δὲ Μωϋσῆς ἀπὸ προσώπου Φαραώ, καὶ ᾤκησεν ἐν γῇ Μαδιάμ· ἐλθὼν δὲ εἰς γῆν Μαδιάμ, ἐκάθησεν ἐπὶ τοῦ φρέατος· Τῷ δὲ ἱερεῖ Μαδιὰμ ἦσαν ἑπτὰ θυγατέρες, ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰωθώρ· παραγενόμεναι δὲ ἤντλουν, ἕως ἔπλησαν τὰς δεξαμενάς, ποτίσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰωθώρ. Παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλον αὐτάς. Ἀναστὰς δὲ Μωϋσῆς ἐρρύσατο αὐτάς, καὶ ἤντλησεν αὐταῖς καὶ ἐπότισε τὰ πρόβατα αὐτῶν. Παρεγένοντο δὲ πρὸς Ραγουὴλ τὸν πατέρα αὐτῶν. Ὁ δὲ εἶπεν αὐταῖς Τί ὅτι ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον; Αἱ δὲ εἶπον. Ἄνθρωπος Αἰγύπτιος ἐρρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων, καὶ ἤντλησεν ἡμῖν, καὶ ἐπότισε τὰ πρόβατα ἡμῶν. Ὁ δὲ εἶπε ταῖς θυγα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τράσιν αὐτοῦ, Καὶ ποῦ ἐστι; καὶ ἵνα τί οὕτω καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐτὸν, ὅπως φάγῃ ἄρτον. Κατῳκίσθη δὲ Μωϋσῆς παρὰ τῷ ἀνθρώπῳ· καὶ ἐξέδοτο Σεπφώραν τὴν θυγατέρα αὐτοῦ τῷ Μωϋσεῖ γυναῖκα. Ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ, ἔτεκεν υἱόν· καὶ ἐπωνόμασε Μωϋσῆς τὸ ὄνομα αὐτοῦ Γηρσὲμ, λέγων· Ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ. Ἔτι δὲ συλλαβοῦσα, ἔτεκεν υἱὸν δεύτερον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἐλιέζερ, λέγων· Ὁ γὰρ Θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐρρύσατό με ἐκ χειρὸς Φαραώ.

Προκείμενον ἦχος δ'. Ψαλμ. 137.

Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον τῶν ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

Ἰὼβ τὸ ἀνάγνωσμα. (Κεφ. Β'. 1—11).

Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Κυρίου· καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν, παραστῆναι ἐναντίον τοῦ Κυρίου. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν σὺ ἔρχῃ; Εἶπε δὲ ὁ διάβολος ἐναντίον Κυρίου· Διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι. Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν διάβολον· Προσέσχες τὸν θεράποντά μου Ἰὼβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν, τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ὅμοιος αὐτῷ, ἄκακος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ; ἔτι δὲ ἔχεται ἀκακίας· σὺ δὲ εἶπας, τὰ ὑπάρχοντα αὐτοῦ διὰ κενῆς ἀπολέσαι. Ὑπολαβὼν δὲ ὁ διάβολος, εἶπε τῷ Κυρίῳ· Δέρμα ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει· οὐ μὴν δὲ, ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου, ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

διαφύλαξον. Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου Κυρίου· καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. Καὶ ἔλαβεν ἑαυτῷ ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως. Χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· Μέχρι τίνος καρτερήσει λέγων· Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; Ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς· υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων· σὺ δὲ αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι, διανυκτερεύων αἴθριος, κἀγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας, προσδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου καὶ τῶν ὀδυνῶν, αἵ με νῦν συνέχουσιν. ἀλλ' εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. Ὁ δὲ ἐμβλέψας αὐτῇ, εἶπεν· Ἵνα τί, ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας οὕτως; Εἰ τὰ καλὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ Θεοῦ.

Εἶτα, τὸ **Κατευθυνθήτω**, καὶ μετὰ τοῦτο τὸ Εὐαγγέλιον.

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ (ΚΣΤ'. 6 16).

Τῷ καιρῷ ἐκείνῳ τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς. Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπε· τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

Καὶ τὰ λοιπὰ τῆς λειτουργίας τῶν προηγιασμένων, ἥτις ἐστὶ καὶ ἡ τελευταία τῆς Μεγάλης Τεσσαρακοστῆς.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ

### ΕΝ ΤΩ ΑΠΟΔΕΙΠΝΩ

Ἀναγινώσκεται τὸ Μικρὸν Ἀπόδειπνον.

Εὐλογητὸς ὁ Θεός. Τρισάγιον. Δεῦτε προσκυνήσωμεν γ'. Ψαλμ. 50. Ἐλέησόν με ὁ Θεὸς (σελ. 17). Ψαλμ. 69. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες (σελ. 81). Ψαλμὸς 142. Κύριε εἰσάκουσον (σελ. 81). Δοξολογία (σελ. 82). Πιστεύω εἰς ἕνα Θεὸν (σελ. 46). Ἄξιόν ἐστιν. Εἶτα ψάλλονται τὰ παρόντα Τριῴδια.

Ὠδὴ Δ'. Ἦχος πλ. β'. Ἀκήκοεν ὁ προφήτης.

Ἀνώγεων ἐστρωμένον ἐδέξατό σε τὸν Κτίστην καὶ τοὺς συμμύστας, καὶ αὐτοῦ τὸ πάσχα ἐπετέλεσας, καὶ αὐτοῦ εἰργάσω τὰ μυστήρια· αὐτοῦ γὰρ τῶν δύο σταλέντων νῦν μαθητῶν σου, τὸ πάσχα ἡτοιμάσθη σοι.

Ὑπάγετε πρὸς τὸν δεῖνα, ὁ πάντα εἰδὼς προλέγει τοῖς Ἀποστόλοις, καὶ μακάριός ἐστιν ὃς δύναται πιστῶς ὑποδέξασθαι τὸν Κύριον, ἀνώγεων μὲν τὴν καρδίαν προετοιμάσας καὶ δεῖπνον τὴν εὐσέβειαν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Η γνώμη φιλαργυρίας, ὁ τρόπος σου ἀπονοίας, ἄφρον Ἰούδα· πιστευθεὶς γὰρ μόνος τὸ γλωσσόκομον, ὅλως οὐκ ἐκάμφθης πρὸς συμπάθειαν, ἀλλ' ἔκλεισας τὰ τῆς σκληρᾶς σου καρδίας σπλάγχνα, προδοὺς τὸν μόνον εὔσπλαγχνον.

Η γνώμη τῶν θεοκτόνων, τῇ πράξει τοῦ φιλαργύρου συναρμοσθεῖσα· ἡ μὲν πρὸς ἀναίρεσιν ὡπλίζετο, ἡ δὲ τὰ ἀργύρια ἐφείλκετο· ἀγχόνην γὰρ μεταμελείας τότε προκρίνας, κακῶς τοῦ ζῆν ἐστέρηται.

Τὸ φίλημα γέμει δόλου, τὸ χαῖρέ σου ἐν μαχαίρᾳ, πλάνε Ἰούδα· τῇ μὲν γλώσσῃ φθέγγῃ τὸ πρὸς ἕνωσιν, τῇ δὲ γνώμῃ νεύεις πρὸς διάστασιν· προδοῦναι γὰρ τοῖς παρανόμοις τον εὐεργέτην δολίως ἐμελέτησας.

Φιλεῖς καὶ πωλεῖς Ἰούδα, ἀσπάζῃ καὶ οὐκ ὀκλάζεις, δόλῳ προστρέχων· τίς μισῶν ἀσπάζεται, τρισάθλιε; τίς φιλῶν ἐξωνεῖται τιμήματι; τὸ φίλημα τῆς ἀναιδοῦς σου κακοβουλίας ἐλέγχει τὴν προαίρεσιν.

Δόξα.

Αμέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε, τὴν τριαδικὴν μίαν θεότητα, ὡς ὁμοβασίλειον καὶ σύνθρονον· βοῶ σοι τὸ ᾆσμα τὸ μέγα τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον.

Καὶ νῦν. Θεοτόκιον.

Η σύλληψις ὑπὲρ λόγον, ὁ τόκος σου ὑπὲρ φύσιν, Θεογεννῆτορ· ἡ μὲν γὰρ ἐκ Πνεύματος, οὐ σπέρματος, ἡ δὲ νόμους φύσεως λανθάνουσα, ὡς ἄφθορος καὶ ὑπὲρ φύσιν πάσης λοχείας· Θεὸς γὰρ τὸ τικτόμενον.

Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Συνεσθίων, Δέσποτα, τοῖς μαθηταῖς σου, μυστικῶς ἐδήλωσας τὴν σὴν ἁγίαν τελευτήν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν, οἱ τὰ σεπτά σου τιμῶντες παθήματα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὠδὴ Η΄. Ὃν στρατιαὶ οὐρανῶν.

Τὴν νομικὴν ἐκπληρώσας πρόσταξιν, ὁ πλάκας τὰς νομικὰς γράψας ἐν Σινᾷ, ἔφαγε μὲν τὸ πάσχα, τὸ πάλαι καὶ σκιῶδες, γέγονε δὲ πάσχα καὶ μυστικὴ ζωοθυσία. (Δίς).

Τὴν ἀπ᾽ αἰῶνος κεκαλυμμένην Χριστὸς σοφίαν μυσταγωγῶν, ἔδειξας ὁμοῦ πᾶσι τοῖς Ἀποστόλοις, Σωτὴρ, ἐπὶ τοῦ δείπνου· ἣν ταῖς Ἐκκλησίαις παρέδωκαν οἱ θεοφόροι.

Εἷς ἐξ ὑμῶν δόλῳ παραδώσει με ἑβραίοις ἀπεμπολῶν, ταύτῃ τῇ νυκτί· τοῦτο Χριστὸς βοήσας συνέχεε τοὺς φίλους, τότε εἷς πρὸς ἕνα διαπορῶν προσεκινεῖτο.

Ταπεινωθεὶς δι᾽ ἡμᾶς ὁ πλούσιος, τοῦ δείπνου ἐξαναστὰς, λέντιον λαβὼν, τοῦτο περιεζώσω, καὶ κλίνας τὸν αὐχένα, ἔνιψας τοὺς πόδας τῶν μαθητῶν καὶ τοῦ προδότου.

Τῆς ὑπὲρ νοῦν καὶ ἀφράστου γνώσεως τὸ ὕψος σου, Ἰησοῦ, τίς μη ἐκπλαγῇ, ὅτι πηλῷ παρέστης ὁ Κτίστης τῶν ἁπάντων, νίπτων μὲν τοὺς πόδας, ἐκμάσσων δὲ καὶ τῷ λεντίῳ;

Ὁ μαθητὴς, ὃν ἠγάπα Κύριος, τῷ στήθει ἀναπεσὼν, ἔφη πρὸς αὐτόν· τίς ὁ παραδιδούς σε; Χριστὸς δὲ πρὸς ἐκεῖνον· οὗτος ὁ ἐμβάψας ἐν τῷ τρυβλίῳ νῦν τὴν χεῖρα.

Ὁ μαθητὴς τὸν ψωμὸν δεξάμενος, κατὰ τοῦ ἄρτου χωρεῖ, πρᾶσιν μελετῶν· τρέχει πρὸς ἰουδαίους, λέγει τοῖς παρανόμοις· τί παρέχετέ μοι, κἀγὼ ὑμῖν αὐτὸν προδώσω;

Εὐλογοῦμεν Πατέρα, Υἱὸν κτλ

Ἕνα Θεὸν κατ᾽ οὐσίαν σέβομαι, τρεῖς ὑποστάσεις ὑμνῶ διοριστικῶς, ἄλλας ἀλλ᾽ οὐκ ἀλλοίας, ἐπεὶ θεότης μία, ἐν τρισὶ τὸ κράτος· καὶ γὰρ Πατὴρ, Υἱὸς καὶ Πνεῦμα.

Καὶ νῦν. Θεοτόκιον.

Ῥῦσαι ἡμᾶς, Ἰησοῦ Σωτὴρ ἡμῶν, ἐκ πλάνης καὶ πειρασμοῦ καὶ τοῦ πονηροῦ· δέχου τὴν Θεοτόκον πρεσβεύουσαν ἀπαύστως· Μήτηρ γὰρ ὑπάρχει καὶ δύναταί σε δυσωπῆσαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὠδὴ Θ΄. Ἀσπόρου συλλήψεως.

Τὸ μέγα μυστήριον τῆς σῆς ἐνανθρωπήσεως ἐπὶ τοῦ δείπνου, συνανακειμένου σου τοῖς μύσταις, φιλάνθρωπε, ἀνακαλύψας ἔφης· φάγετε ἄρτον τὸν ζωτικὸν, πίστει πίετε τὸ αἷμα, κενωθὲν τῆς θεοπλεύρου σφαγῆς.

Σκηνὴ ἐπουράνιος ἐδείχθη τὸ ἀνώγεον, ἔνθα τὸ πάσχα Χριστὸς ἐπετέλεσε, τὸ δεῖπνον ἀναίμακτον καὶ λογικὴ λατρεία· ἡ τράπεζα δὲ τῶν ἐκεῖ τελεσθέντων μυστηρίων νοητὸν θυσιαστήριον.

Τὸ πάσχα Χριστός ἐστι, τὸ μέγα καὶ σεβάσμιον, βρωθεὶς ὡς ἄρτος, τυθεὶς δὲ ὡς πρόβατον· αὐτὸς γὰρ ἀνήνεκται ὑπὲρ ἡμῶν θυσία· αὐτοῦ τὸ σῶμα εὐσεβῶς, καὶ αὐτοῦ τὸ αἷμα πάντες μυστικῶς μεταλαμβάνομεν.

Τὸν ἄρτον εὐλογήσας ὁ Ἄρτος ὁ οὐράνιος, εὐχαριστήσας Πατρὶ τῷ γεννήτορι, λαβὼν καὶ ποτήριον τοῖς μαθηταῖς ἐδίδως· λάβετε, φάγετε, βοῶν, τοῦτό μου ἐστὶ τὸ σῶμα καὶ τὸ αἷμα τῆς ἀφθάρτου ζωῆς.

Ἀμὴν λέγων ἔφησε τοῖς κλήμασιν ἡ ἄμπελος, τοῖς Ἀποστόλοις Χριστὸς, ἡ ἀλήθεια, ἀπ᾿ ἄρτι οὐ μὴ πίω ἐκ τῆς ἀμπέλου πόμα, ἕως ἂν πίω αὐτὸ καινὸν, ἐν τῇ δόξῃ τοῦ Πατρός μου μεθ᾿ ὑμῶν τῶν κληρονόμων μου.

Πιπράσκεις τριάκοντα ἀργυρίοις τὸν ἀτίμητον, καὶ οὐ λογίζῃ, Ἰούδα παράνομε, τοῦ δείπνου τὴν μύησιν ἢ τὸν σεπτὸν νιπτῆρα; Ὢ πῶς εἰς τέλος τοῦ φωτὸς ὀλισθήσας, πτῶμα ἦλθες, τὴν ἀγχόνην ἀσπασάμενος.

Τὰς χεῖρας ἐξέτεινας, ἐν αἷς τὸν ἄρτον ἔλαβες τῆς ἀφθαρσίας, λαβεῖν τὰ ἀργύρια, τὸ στόμα πρὸς φίλημα προσαγαγὼν δολίως, ἐν ᾧ τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ αἷμα ὑπεδέξω· ἀλλ᾿ οὐαί σοι, ὥς φησιν ὁ Χριστός.

Χριστὸς εἱστιάσατο τὸν κόσμον, ὁ οὐράνιος καὶ θεῖος Ἄρτος. Δεῦτε οὖν, φιλόχριστοι, πηλίνοις ἐν στόμασιν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἁγναῖς δὲ ταῖς καρδίαις, ὑποδεξώμεθα πιστῶς τὸν θυόμενον τὸ πάσχα ἐν ἡμῖν ἱερουργούμενον.

Δόξα.

Πατέρα δοξάσωμεν, Υἱὸν ὑπερυψώσωμεν, τὸ θεῖον Πνεῦμα πιστῶς προσκυνήσωμεν, Τριάδα ἀχώριστον, μονάδα κατ' οὐσίαν, ὡς φῶς καὶ φῶτα ζωὴν καὶ ζωὰς ζωοποιοῦσαν καὶ φωτίζουσαν τὰ πέρατα.

Καὶ νῦν. Θεοτόκιον.

Παστὰς ἐπουράνιος καὶ νύμφη ἀειπάρθενος μόνη ἐδείχθης, Θεὸν μὲν βαστάσασα, τεκοῦσα δὲ ἀτρέπτως ἐκ σοῦ σεσαρκωμένον· διό σε πᾶσαι αἱ γενεαί, ὡς θεόνυμφον μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Τὸ Τρισάγιον, τὸ Κοντάκιον, Ὑπὲρ τὴν πόρνην ἀγαθὲ (σελ. 47). Τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σελ. 31). Τὸ Ἄσπιλε ἀμόλυντε κτλ. (σελ. 90) καὶ ἀπόλυσις (*).

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ

### ΕΝ ΤΩ ΟΡΘΡΩ

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα τοῦ Τρισαγίου χύμα, μετὰ δὲ τό, Ὅτι Σοῦ ἐστιν, τὰ τροπάρια· Σῶσον Κύριε τὸν λαόν σου. Δόξα, Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ, καὶ νῦν, Προστασία φοβερὰ κτλ.

Μετὰ τὸν Ἑξάψαλμον καὶ τὴν μεγάλην συναπτήν, ψάλλομεν μετὰ τῶν στίχων τὸ Ἀλληλούϊα εἰς ἦχον πλ. δ' τετράκις καὶ τὸ παρὸν Τροπάριον·

(*) Ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ μετὰ τὴν ἀπόλυσιν τοῦ Μικροῦ Ἀποδείπνου ἄρχεται τὸ ἅγιον Εὐχέλαιον καὶ διὰ τοῦτο ἀγρυπνία οὐ γίνεται. Ἰδιαιτέρως δ' ἀναγινώσκεται ἐν τοῖς κελλίοις ἡ Μετάληψις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὅτε οἱ ἔνδοξοι μαθηταὶ ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβὴς, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο· καὶ ἀνόμοις κριταῖς σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι. Βλέπε, χρημάτων ἐραστὰ, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχὴν, τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθὸς, Κύριε, δόξα σοι. (ἐκ τρίτου).

Εἶτα τὸ Εὐαγγέλιον.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ (ΚΒ΄. 1—39).

Τῷ καιρῷ ἐκείνῳ ἤγγιζε ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα. Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν. Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι καὶ στρατηγοῖς τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς. Καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι· καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα, καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην εἰπών· πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα ἵνα φάγωμεν. Οἱ δὲ εἶπον αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμεν; Ὁ δὲ εἶπεν αὐτοῖς· ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται, καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· λέγει σοι ὁ διδάσκαλος, ποῦ ἐστι τὸ κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Κἀκεῖνος ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. Καὶ εἶπε πρὸς αὐτούς· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν· λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δεξάμενος τὸ ποτήριον εὐχαριστήσας εἶπε· λάβετε τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς· λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γενήματος τῆς ἀμπέλου ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ. Καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται· ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν γινέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσεσθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ συνιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. Ὁ δὲ εἶπε· λέγω σοι, Πέτρε, οὐ φωνήσει σήμερον ἀλέκτωρ πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. Καὶ εἶπεν αὐτοῖς· ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήθητε; οἱ δὲ εἶπον· οὐδενός. Εἶπεν οὖν αὐτοῖς· ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλήσει τὸ ἱμά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν. Λέγω γὰρ ὑμῖν ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τὸ «Καὶ μετὰ ἀνόμων ἐλογίσθη»· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· ἱκανόν ἐστι. Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

Ὁ Ν' ψαλμὸς (σελ. 17).

Ὁ Κανὼν ψάλλεται ἄνευ στίχων μετὰ τῆς Καταβασίας ἐν τέλει ἑκάστης Ὠδῆς (ἀνὰ δ').

Ἀκροστιχίς.

«Τῇ μακρᾷ Πέμπτῃ μακρὸν ὕμνον ἐξᾴδω».

Ποίημα Κοσμᾶ μοναχοῦ.

Ὠδὴ Α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

» Τμηθείσῃ τμᾶται πόντος ἐρυθρός, κυματοτρόφος δὲ
» ξηραίνεται βυθός, ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς βατὸς
» καὶ πανοπλίταις τάφος. Ὠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο·
» ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν».

Ἡ παναιτία καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς, ἁγνῆς ἐξ ἀπειράνδρου μητρός· ναὸν γὰρ σωματικὸν περιθέμενος, ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν. Δόξα.

Μυσταγωγοῦσα φίλους ἑαυτῆς, τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν, ἀμβροσίας δὲ ἡ ὄντως σοφία τοῦ Θεοῦ κιρνᾷ κρατῆρα πιστοῖς. Προσέλθωμεν εὐσεβῶς καὶ βοήσωμεν· ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καὶ νῦν.

Ἀκουτισθῶμεν πάντες οἱ πιστοί, συγκαλουμένης ὑψηλῷ κηρύγματι τῆς ἀκτίστου καὶ ἐμφύτου σοφίας τοῦ Θεοῦ· βοᾷ γάρ· γεύσασθε καὶ γνόντες ὅτι Χριστὸς ἐγώ, κράξατε· ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καταβασία. Τμηθείσῃ τμᾶται.

Ὠδὴ Γ'. Ὁ Εἱρμός. (Δίς).

» Κύριος ὢν πάντων καὶ κτίστης Θεός, τὸ κτιστὸν ὁ ἀπα-
» θὴς πτωχεύσας σεαυτῷ ἥνωσας· καὶ τὸ πάσχα, οἷς
» ἔμελλες θανεῖν, αὐτὸς ὤν, σεαυτὸν προετίθης· Φάγετε, βοῶν,
» τὸ σῶμά μου καὶ πίστει στερεωθήσεσθε».

Δόξα.

Ρύσιον παντὸς τοῦ βροτείου γένους τὸ οἰκεῖον, Ἀγαθέ, τοὺς σοὺς μαθητὰς ἐπότισας, εὐφροσύνης ποτήριον πλήσας· αὐτὸς γὰρ σεαυτὸν ἱερούργεις. Πίετε, βοῶν, τὸ αἷμά μου καὶ πίστει στερεωθήσεσθε.

Καὶ νῦν.

Ἄφρων ἀνήρ, ὃς ἐν ὑμῖν προδότης, τοῖς οἰκείοις μαθηταῖς προέφης, ὁ ἀνεξίκακος, οὐ μὴ γνώσηται ταῦτα, καὶ οὗτος ἀσύνετος ὤν, οὐ μὴ συνήσει· ὅμως ἐν ἐμοὶ μείνατε καὶ πίστει στερεωθήσεσθε.

Καταβασία. Κύριος ὢν πάντων. Εἶτα συναπτὴ μικρά Ὅτι σὺ εἶ ὁ Θεός.

Κάθισμα, ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ λίμνας καὶ πηγὰς καὶ θαλάσσας ποιήσας, ταπείνωσιν ἡμᾶς ἐκπαιδεύων ἀρίστην, λεντίῳ ζωννύμενος, μαθητῶν πόδας ἔνιψε, ταπεινούμενος ὑπερβολῇ εὐσπλαγχνίας, καὶ ὑψῶν ἡμᾶς ἀπὸ βαράθρων κακίας, ὁ μόνος φιλάνθρωπος.

Ἕτερον, ἦχος γ'. Θείας πίστεως.

Ταπεινούμενος, δι' εὐσπλαγχνίαν, πόδας ἔνιψας τῶν μαθητῶν σου, καὶ πρὸς δρόμον θεῖον τούτους κατεύθυνας· ἀπαναινόμενος Πέτρος δὲ νίπτεσθαι, αὖθις τῷ θείῳ ὑπείκει προστάγματι ἐκνιπτόμενος, καὶ σοῦ ἐκτενῶς δεόμενος δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἕτερον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Συνεσθίων, Δέσποτα, τοῖς μαθηταῖς σου, μυστικῶς ἐδήλωσας τὴν παναγίαν σου σφαγὴν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν οἱ τὰ σεπτά σου τιμῶντες παθήματα.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

» Προκατιδὼν ὁ προφήτης τοῦ μυστηρίου σου τὸ ἀπόρρη-
» τον, Χριστὲ, προανεφώνησεν· ἔθου κραταιὰν ἀγάπησιν
» ἰσχύος, Πάτερ οἰκτῖρμον· τὸν μονογενῆ Υἱὸν γὰρ, ἀγαθὲ,
» ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.

Ἐπὶ τὸ πάθος τὸ πᾶσι τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν, Χριστὲ, μολὼν τοῖς φίλοις σου, εἶπας· μεθ' ὑμῶν τοῦ πάσχα μετασχεῖν, τούτου ἐπεθύμησα. Τὸν μονογενῆ ἐπεί με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Δόξα.

Μεταλαμβάνων κρατῆρος τοῖς μαθηταῖς ἐβόας, ἀθάνατε· γεννήματος ἀμπέλου δὲ πίομαι λοιπὸν, οὐκέτι μεθ' ὑμῶν βιοτεύων· τὸν μονογενῆ ἐπεί με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Καὶ νῦν.

Πόμα καινὸν ὑπὲρ λόγον, ἐγὼ φημὶ ἐν τῇ βασιλείᾳ μου, Χριστὸς τοῖς φίλοις πίομαι· ὥστε γὰρ θεοῖς, Θεὸς ὑμῖν, συνέσομαι εἶπας· τὸν μονογενῆ καὶ γάρ με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Καταβασία. Προκατιδὼν ὁ προφήτης.

Ὠδὴ Ε'. Ὁ Εἱρμός. (Δίς).

» Τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεόμενοι οἱ Ἀπόστολοι,
» τῷ δεσπόζοντι τῶν ὅλων ἑαυτοὺς Χριστῷ ἀναθέμενοι,
» ὡραίους πόδας ἐξατενίζοντο, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην».

Δόξα.

Ἡ τὸ ἄσχετον κρατοῦσα καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα καὶ θαλάσσας ἀναχαιτίζουσα Θεοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σοφία, ὕδωρ νιπτῆρι βάλλει, πόδας ἀποπλύνει δὲ δούλων Δεσπότης.

Καὶ νῦν.

Μαθηταῖς ὑποδεικνύει ταπεινώσεως ὁ Δεσπότης τύπον· ὁ νεφέλαις δὲ τὸν πόλον περιβάλλων, ζώννυται λέντιον καὶ κάμπτει γόνυ δούλων ἐκπλῦναι πόδας· οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ὄντων.

Καταβασία. Τῷ συνδέσμῳ τῆς ἀγάπης.

Ὠδὴ ΣΤ'. Ὁ Εἱρμός. (Δίς).

» Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν
» κλύδωνα μηκέτι φέρων, ὡς ὁ Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ
» σοι· ἐκ φθορᾶς με ἀνάγαγε».

Δόξα.

Κύριον φωνεῖτε, ὦ μαθηταί, καὶ διδάσκαλόν με· καὶ γὰρ πέφυκα, Σωτὴρ, ἐβόας· διὸ μιμεῖσθε τὸν τύπον, ὃν τρόπον ἐν ἐμοὶ ἐθεάσασθε.

Καὶ νῦν.

Ῥύπον τις μὴ ἔχων ἀπορριφθῆναι, οὐ δεῖται πόδας· καθαροί, ὦ μαθηταί, ὑμεῖς δέ, ἀλλ' οὐχὶ πάντες· ῥοπὴ γὰρ ἀτάκτως ἐξ ὑμῶν ἑνὸς μαίνεται.

Καταβασία. Ἄβυσσος ἐσχάτη. Εἶτα συναπτὴ μικρά. Σὺ γὰρ εἶ ὁ βασιλεύς.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸν ἄρτον λαβὼν εἰς χεῖρας προδότης, κρυφίως αὐτὰς ἐκτείνει καὶ λαμβάνει τὴν τιμὴν τοῦ πλάσαντος ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον· καὶ ἀδιόρθωτος ἔμεινεν Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Ὁ Οἶκος.

Τῇ μυστικῇ ἐν φόβῳ τραπέζῃ, προσεγγίσαντες πάντες καθαραῖς ταῖς ψυχαῖς τὸν ἄρτον ὑποδεξώμεθα, συμπα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ραμένοντες τῷ Δεσπότῃ, ἵνα ἴδωμεν τοὺς πόδας πῶς ἀπονίπτει τῶν μαθητῶν καὶ ἐκμάσσει τῷ λεντίῳ, καὶ ποιήσωμεν ὥσπερ κατείδομεν, ἀλλήλοις ὑποταγέντες καὶ ἀλλήλων τοὺς πόδας ἐκπλύνοντες· αὐτὸς γὰρ ὁ Χριστὸς οὕτως ἐκέλευσε τοῖς αὐτοῦ μαθηταῖς, ὡς προέφησεν· ἀλλ' οὐκ ἤκουσεν Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Τὸ Μηνολόγιον καὶ τὸ παρὸν ὑπόμνημα.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ, οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες, ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων Ἀποστόλων καὶ ἱερῶν Εὐαγγελίων, παραδεδώκασιν ἡμῖν τέσσαρά τινα ἑορτάζειν· τὸν ἱερὸν νιπτῆρα, τὸν μυστικὸν δεῖπνον (δηλαδὴ τὴν παράδοσιν τῶν καθ' ἡμᾶς φρικτῶν μυστηρίων, τὴν ὑπερφυᾶ προσευχὴν καὶ τὴν προδοσίαν αὐτήν).

Στίχοι εἰς τὸν ἱερὸν νιπτῆρα.

Νίπτει μαθητῶν, ἑσπέρας, Θεὸς πόδας,
Οὗ ποῦς πατῶν ἦν εἰς Ἐδὲμ δείλης πάλαι.

Εἰς τὸν μυστικὸν δεῖπνον.

Διπλοῦς ὁ Δεσπότης· Πάσχα γὰρ νόμου φέρει,
καὶ πάσχα καινόν, αἷμα, σῶμα Δεσπότου.

Εἰς τὴν ὑπερφυᾶ προσευχήν.

Προσεύχῃ, καὶ φόβητρα, θρόμβοι αἱμάτων,
Χριστέ, προσώπου· παραιτούμενος δῆθεν,
θάνατον, ἐχθρὸν ἐν τούτοις φενακίζων.

Εἰς τὴν προδοσίαν.

Τί δεῖ μαχαιρῶν; τί ξύλων, λαοπλάνος,
πρὸς τὸν θανεῖν πρόθυμον εἰς κόσμου λύτρον.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

» Οἱ παῖδες ἐν Βαβυλῶνι καμίνου φλόγα οὐκ ἔπτηξαν,
» ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλ-
» λον· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν».

Νευστάζων κάραν Ἰούδας, κακὰ προβλέπων ἐκίνησεν, εὐκαιρίαν ζητῶν παραδοῦναι τὸν Κτίστην εἰς κατάκρισιν, ὃς πάντων ἐστὶ Κύριος καὶ Θεὸς τῶν πατέρων ἡμῶν.

Δόξα.

Ὑμῖν ὁ Χριστὸς τοῖς φίλοις ἐβόα· εἷς παραδώσει με, εὐφροσύνης λαθόντες, ἀγωνίᾳ καὶ λύπῃ συνείχοντο· τίς οὗτος φράσον λέγοντες, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Καὶ νῦν.

Μεθ' ὅστις ἐμοῦ τὴν χεῖρα τρυβλίῳ βάλλει θρασύτητι, τούτῳ πλὴν καλὸν ἦν, πύλας βίου περάσαι μηδέποτε· τοῦτον ὃς ἦν ἐδήλου δὲ ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Καταβασία. Οἱ παῖδες ἐν Βαβυλῶνι.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

» Νόμων πατρῴων οἱ μακαριστοὶ ἐν Βαβυλῶνι νέοι προκιν-
» δυνεύοντες· βασιλεύοντος κατέπτυξαν προσταγῆς ἀλο-
» γίστου, καὶ συνημμένοι, ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ, τοῦ κρα-
» τοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον· Τὸν Κύριον ὑμνεῖτε
» τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Οἱ δαιτυμόνες οἱ μακαριστοὶ ἐν τῇ Σιὼν τῷ Λόγῳ προσκαρτερήσαντες, οἱ Ἀπόστολοι παρείποντο τῷ ποιμένι ὡς ἄρνες, καὶ συνημμένοι, ᾧ οὐκ ἐχωρίσθησαν Χριστῷ, θείῳ λόγῳ τρεφόμενοι, εὐχαρίστως ἐβόων· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Νόμου φιλίας ὁ δυσώνυμος Ἰσκαριώτης γνώμῃ ἐπιλαθόμενος, οὓς ἐνίψατο ηὐτρέπισε πρὸς προδοσίαν πόδας, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σοῦ ἐσθίων ἄρτον, σῶμα θεῖον, ἐπῆρε πτερνισμὸν ἐπὶ σέ, Χριστέ, καὶ βοᾷν οὐ συνῆκε· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

Ἐδεξιοῦτο τὸ λυτήριον τῆς ἁμαρτίας σῶμα ὁ ἀσυνείδητος, καὶ τὸ αἷμα τὸ χεόμενον ὑπὲρ κόσμου τὸ θεῖον· ἀλλ' οὐκ ᾐδεῖτο πίνων, ὃ ἐπίπρασκε τιμῆς, οὐ κακίᾳ προσώχθισε καὶ βοᾷν οὐ συνῆκε· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Νόμων πατρῴων.

Ἐκφώνησις· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς κτλ. καὶ εἶτα·

Ὠδὴ Θ΄. Ὁ Εἱρμός.

» Ξενίας δεσποτικῆς καὶ ἀθανάτου τραπέζης, ἐν ὑπερῴῳ
» τόπῳ, ταῖς ὑψηλαῖς φρεσὶ, πιστοὶ, δεῦτε ἀπολαύσωμεν,
» ἐπαναβεβηκότα λόγον ἐκ τοῦ Λόγου μαθόντες, ὃν μεγαλύ-
» νομεν».

Ἄπιτε τοῖς μαθηταῖς, ὁ Λόγος ἔφη, τὸ πάσχα ἐν ὑπερῴῳ τόπῳ, ᾧ νοῦς ἐνίδρυται, οἷς μυσταγωγῶς σκευάσατε, ἀζύμῳ ἀληθείας λόγῳ, τὸ στερρὸν δὲ τῆς χάριτος μεγαλύνατε.

Δόξα.

Δημιουργὸν ὁ Πατὴρ πρὸ τῶν αἰώνων σοφίαν γεννᾷ, ἀρχὴν ὁδῶν με εἰς ἔργα ἔκτισε, τὰ νῦν μυστικῶς τελούμενα. Λόγος γὰρ ἄκτιστος ὢν φύσει, τὰς φωνὰς οἰκειοῦμαι, οὗ νῦν προσείληφα.

Καὶ νῦν.

Ὡς ἄνθρωπος ὑπάρχων, οὐσίᾳ καὶ φαντασίᾳ, οὕτω Θεὸς τῷ τρόπῳ τῆς ἀντιδόσεως, ἡ φύσις ἡ ἑνωθεῖσά μοι. Χριστὸν ἕνα, δι' ὅ με γνῶτε τὰ ἐξ ὧν ἐν οἷς, ἅπερ πέφυκα σώζοντα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καταβασία. Ξενίας δεσποτικῆς. Εἶτα συναπτὴ μικρά, Ὅτι σὲ αἰνοῦσιν.

Ἐξαποστειλάριον. Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, φωτοδότα, καὶ σῶσόν με (ἐκ τρίτου).

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ', ψάλλοντες τὰ παρόντα στιχηρὰ ἰδιόμελα.

Ἦχος β'.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.

Συντρέχει λοιπὸν τὸ συνέδριον τῶν ἰουδαίων, ἵνα τὸν δημιουργὸν καὶ κτίστην τῶν ἁπάντων Πιλάτῳ παραδώσῃ. Ὢ τῶν ἀνόμων, ὢ τῶν ἀπίστων! ὅτι τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς εἰς κρίσιν εὐτρεπίζουσι· τὸν ἰώμενον τὰ πάθη πρὸς πάθος ἑτοιμάζουσι· Κύριε μακρόθυμε, μέγα σου τὸ ἔλεος, δόξα σοι.

Ἦχος ὁ αὐτός.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Ἰούδας ὁ παράνομος, Κύριε, ὁ βάψας ἐν τῷ δείπνῳ τὴν χεῖρα ἐν τῷ τρυβλίῳ μετὰ σοῦ, ἐξέτεινεν ἀνόμως τὰς χεῖρας τοῦ λαβεῖν ἀργύρια· καὶ ὁ τοῦ μύρου λογισάμενος τιμήν, σὲ τὸν ἀτίμητον οὐκ ἔφριξε πωλῆσαι· ὁ τοὺς πόδας ἐφαπλώσας ἐπὶ τὸ νίψαι, τὸν δεσπότην κατεφίλησε δολίως εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις. Χοροῦ δὲ Ἀποστόλων ριφεὶς καὶ τὰ τριάκοντα ρίψας ἀργύρια, σοῦ τὴν τριήμερον ἀνάστασιν οὐκ εἶδε, δι' ἧς ἐλέησον ἡμᾶς.

Ἦχος ὁ αὐτός.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ.

Ἰούδας ὁ προδότης δόλιος ὤν, δολίῳ φιλήματι παρέδωκε τὸν Σωτῆρα Κύριον· τὸν δεσπότην τῶν ἁπάντων ὡς δοῦλον πέ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πρακε τοῖς παρανόμοις· ὡς πρόβατον ἐπὶ σφαγήν, οὕτως ἠκολούθει ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ Υἱὸς ὁ τοῦ Πατρός, ὁ μόνος πολυέλεος.

Ἦχος ὁ αὐτός.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις.

Ἰούδας ὁ δοῦλος καὶ δόλιος, ὁ μαθητὴς καὶ ἐπίβουλος, ὁ φίλος καὶ διάβολος, ἐκ τῶν ἔργων ἀπεφάνθη· ἠκολούθει γὰρ τῷ διδασκάλῳ, καὶ καθ' ἑαυτὸν ἐμελέτησε τὴν προδοσίαν· ἔλεγεν ἐν ἑαυτῷ· παραδώσω τοῦτον καὶ κερδήσω τὰ συναχθέντα χρήματα· ἐπεζήτει δὲ καὶ τὸ μύρον πραθῆναι, καὶ τὸν Ἰησοῦν δόλῳ κρατηθῆναι· ἀπέδωκεν ἀσπασμόν, παρέδωκε τὸν Χριστόν· καὶ ὡς πρόβατον ἐπὶ σφαγήν, οὕτως ἠκολούθει ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Δόξα καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὃν ἐκήρυξεν Ἀμνὸν Ἡσαΐας, ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον, καὶ τὸν νῶτον δίδωσιν εἰς μάστιγας, τὰς σιαγόνας εἰς ραπίσματα· τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται· πάντα ὁ ἀναμάρτητος ἑκουσίως καταδέχεται, ἵνα πᾶσι δωρήσηται τὴν ἐκ νεκρῶν ἀνάστασιν.

Σοὶ δόξα πρέπει. Πληρώσωμεν τὴν ἑωθινήν.

Εἰς τὰ Ἀπόστιχα ψάλλομεν τὰ παρόντα στιχηρὰ ἰδιόμελα.

Ἦχος πλ. δ'.

Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρὸν συνήχθη συνέδριον, καὶ κατ' αὐτοῦ κενὰ ἐβουλεύσατο, παραδοῦναι Πιλάτῳ εἰς θάνατον τὸν ἀνεύθυνον. Σήμερον τὴν τῶν χρημάτων ἀγχόνην Ἰούδας ἑαυτῷ περιτίθησι, καὶ στερεῖται κατ' ἄμφω, ζωῆς προσκαίρου καὶ θείας. Σήμερον Καϊάφας ἄκων προφητεύει, συμφέρει, λέγων, ὑπὲρ τοῦ λαοῦ ἕνα ἀπολέσθαι· ἦλθε γὰρ ὑπὲρ τῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἁμαρτιῶν ἡμῶν τοῦ παθεῖν, ἵνα ἡμᾶς ἐλευθερώσῃ ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχος α'. Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.

Ἦχος ὁ αὐτός.

Σήμερον ὁ Ἰούδας τὸ τῆς φιλοπτωχείας κρύπτει προσωπεῖον, καὶ τῆς πλεονεξίας ἀνακαλύπτει τὴν μορφήν· οὐκέτι τῶν πενήτων φροντίζει, οὐκέτι τὸ μύρον πιπράσκει τὸ τῆς ἁμαρτωλοῦ, ἀλλὰ τὸ οὐράνιον μύρον, καὶ ἐξ αὐτοῦ νοσφίζεται τὰ ἀργύρια· τρέχει πρὸς ἰουδαίους, λέγει τοῖς παρανόμοις· τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Ὢ φιλαργυρίας προδότου! εὔωνον ποιεῖται τὴν πρᾶσιν· πρὸς τὴν γνώμην τῶν ἀγοραζόντων, τοῦ πωλουμένου τὴν πραγματείαν ποιεῖται· οὐκ ἀκριβολογεῖται πρὸς τὴν τιμήν, ἀλλ' ὡς δοῦλον φυγάδα ἀπεμπολεῖ· ἔθος γὰρ τοῖς κλέπτουσι ῥίπτειν τὰ τίμια· νῦν ἔβαλε τὰ ἅγια τοῖς κυσὶν ὁ μαθητής· ἡ γὰρ λύσσα τῆς φιλαργυρίας κατὰ τοῦ ἰδίου δεσπότου μαίνεσθαι ἐποίησεν αὐτόν· ἧς τὴν πεῖραν φύγωμεν, κράζοντες· μακρόθυμε Κύριε, δόξα σοι.

Στίχος β'. Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει· ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι.

Ἦχος ὁ αὐτός.

Ὁ τρόπος σου δολιότητος γέμει, παράνομε Ἰούδα· νοσῶν γὰρ φιλαργυρίαν, ἐκέρδισας μισανθρωπίαν· εἰ γὰρ πλοῦτον ἠγάπας, τί τῷ περὶ πτωχείας διδάσκοντι ἐφοίτας; εἰ δὲ καὶ ἐφίλεις, ἵνα τί ἐπώλεις τὸν ἀτίμητον, προδιδοὺς εἰς μιαιφονίαν; Φρίξον, ἥλιε, στέναξον ἡ γῆ, καὶ κλονουμένη βόησον· ἀνεξίκακε Κύριε, δόξα σοι.

Στίχος γ'. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ· μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἦχος ὁ αὐτός.

Μηδείς, ὦ πιστοί, τοῦ δεσποτικοῦ δείπνου ἀμύητος, μηδεὶς ὅλως ὡς ὁ Ἰούδας δολίως προσίτω τῇ τραπέζῃ· ἐκεῖνος γὰρ τὸν ψωμὸν δεξάμενος, κατὰ τοῦ ἄρτου ἐχώρησε, σχήματι μὲν ὢν μαθητής, πράγματι δὲ παρὼν φονευτής, τοῖς μὲν ἰουδαίοις συναγαλλόμενος, τοῖς δὲ Ἀποστόλοις συναυλιζόμενος· μισῶν ἐφίλει, φιλῶν ἐπώλει τὸν ἐξαγοράσαντα ἡμᾶς τῆς κατάρας, τὸν Θεὸν καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὁ τρόπος σου δολιότητος γέμει κτλ.

Καὶ νῦν. Ἦχος πλ. α΄.

Μυσταγωγῶν σου, Κύριε, τοὺς μαθητάς, ἐδίδασκες λέγων· ὦ φίλοι, ὁρᾶτε, μηδεὶς ὑμᾶς χωρίσῃ μου φόβος· εἰ γὰρ πάσχω, ἀλλ' ὑπὲρ τοῦ κόσμου· μὴ οὖν σκανδαλίζεσθε ἐν ἐμοί· οὐ γὰρ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχήν μου λύτρον ὑπὲρ τοῦ κόσμου. Εἰ οὖν ὑμεῖς φίλοι μου ἐστὲ, ἐμὲ μιμεῖσθε· ὁ θέλων πρῶτος εἶναι, ἔστω ἔσχατος· ὁ δεσπότης ὡς ὁ διάκονος· μείνατε ἐν ἐμοί, ἵνα βότρυν φέρητε· ἐγὼ γάρ εἰμι τῆς ζωῆς ἡ ἄμπελος.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Τρισάγιον. Τὸ τροπάριον τῆς προφητείας.

Ἦχος γ΄.

Ὁ ραπισθεὶς ὑπὲρ γένους ἀνθρώπων καὶ μὴ ὀργισθείς, ἐλευθέρωσον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, Κύριε, καὶ σῶσον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐλευθέρωσον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, Κύριε, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ραπισθεὶς ὑπὲρ γένους ἀνθρώπων καὶ μὴ ὀργισθείς, ἐλευθέρωσον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, Κύριε, καὶ σῶσον ἡμᾶς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προκείμενον ἦχος δʹ.

Γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι Κύριος.

Στίχος. Ὁ Θεὸς τί ὁμοιωθήσεταί σοι;

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα. Κεφ. ΙΑʹ, 18.

Κύριε, γνώρισόν μοι καὶ γνώσομαι. Τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν· ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον, ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων· ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες· Δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι. Κύριε τῶν Δυνάμεων, κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς· ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου. Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ, τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας· οὐ μὴ προφητεύσῃς ἐπὶ τῷ ὀνόματι Κυρίου· εἰ δὲ μὴ, ἀποθανῇ ἐν ταῖς χερσὶν ἡμῶν. Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ' αὐτούς· οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ, καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν· ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν. Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πρὶν κρίματα λαλήσω πρὸς σέ. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; ἐφύτευσας αὐτοὺς καὶ ἐρριζώθησαν· ἐτεκνοποιήσαντο καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. Καὶ σὺ, Κύριε, γινώσκεις με· οἶδάς με καὶ δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἄθροισον αὐτοὺς ὥσπερ πρόβατα εἰς σφαγήν· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν· ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινὰ, ὅτι εἶπον· οὐκ ὄψεται ὁ Θεὸς ὁδοὺς ἡμῶν· σοῦ οἱ πόδες τρέχουσι καὶ ἐκλύσουσί σε. Συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου, εἰς ἔρημον ἄβατον ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας. Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου τῷ Ἰσραήλ. Ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν· καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτούς, ἐπιστρέψω καὶ ἐλεήσω αὐτούς, καὶ κατοικιῶ αὐτούς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ.

Προκείμενον, ἦχος πλ. β'.

Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχος. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Ἐκτενὴς καὶ ἀπόλυσις μικρά. Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος. Δι' εὐχῶν.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία· ὁ Προοιμιακός. Συναπτὴ μεγάλη. Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ ἰδιόμελα τῶν Αἴνων (σελ. 145), καὶ ἱστῶμεν στίχους ἕξ, δευτεροῦντες τὸν πρῶτον.

Συντρέχει λοιπόν. (Δίς).
Ἰούδας ὁ παράνομος.
Ἰούδας ὁ προδότης.
Ἰούδας ὁ δοῦλος καὶ δόλιος.
Ὃν ἐκήρυξεν Ἀμνὸν Ἡσαΐας.

Δόξα καὶ νῦν. Ἦχος πλ. β'.

Γέννημα ἐχιδνῶν ἀληθῶς ὁ Ἰούδας, φαγόντων τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ γογγυζόντων κατὰ τοῦ τροφέως· ἔτι γὰρ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, κατελάλουν τοῦ Θεοῦ οἱ ἀχάριστοι· καὶ οὗτος ὁ δυσσεβὴς τὸν οὐράνιον ἄρτον ἐν τῷ στόματι βαστάζων, κατὰ τοῦ Σωτῆρος τὴν προδοσίαν εἰργάσατο. Ὢ γνώμης ἀκορέστου καὶ τόλμης ἀπανθρώπου· τὸν τρέφοντα ἐπώλει, καὶ ὃν ἐφίλει δεσπότην παρεδίδου εἰς θάνατον· ὄντως ἐκείνων υἱὸς ὁ παράνομος, καὶ σὺν αὐτοῖς τὴν ἀπώλειαν ἐκληρώσατο. Ἀλλὰ φεῖσαι, Κύριε, τοιαύτης ἀπανθρωπίας τὰς ψυχὰς ἡμῶν, ὁ μόνος ἐν μακροθυμίᾳ ἀνείκαστος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου· καὶ μετὰ τὸ **Φῶς ἱλαρὸν**, εὐθὺς τὰ Ἀναγνώσματα.

Ἑσπέρας, Προκείμενον ἦχος α'. Ψαλμ. 139.

Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

Στίχ. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

(Κεφ. ΙΘ'. 10).

Εἶπε Κύριος πρὸς Μωϋσῆν· καταβὰς διαμάρτυραι τῷ λαῷ τούτῳ, καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον· καὶ πλυνάτωσαν τὰ ἱμάτια αὐτῶν, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἐναντίον παντὸς τοῦ λαοῦ. Καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ, λέγων· προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος, καὶ θίγειν τι αὐτοῦ· πᾶς ὁ ἀψάμενος τοῦ ὄρους, θανάτῳ τελευτήσει· οὐχ ἅψεται αὐτοῦ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται ἢ βολίδι κατατοξευθήσεται· ἐάν τε κτῆνος, ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. Ὅταν δὲ αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος. Κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαόν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια αὐτῶν. Καὶ εἶπε τῷ λαῷ· γίνεσθε ἕτοιμοι, τρεῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἡμέρας μὴ προσέλθητε γυναικί. Ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ, γενηθέντος πρὸς ὄρθρον, ἐγένοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπὶ ὄρους Σινᾶ· φωνὴ τῆς σάλπιγγος ἤχει μέγα· καὶ ἐπτοήθη πᾶς ὁ λαός, ὅς ἦν ἐν τῇ παρεμβολῇ. Καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς καὶ παρέστησαν ὑπὸ τὸ ὄρος. Τὸ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι τὸν Θεὸν ἐπ' αὐτὸ ἐν πυρί· ἀνέβαινε δὲ ὁ καπνός, ὡσεὶ ἀτμὸς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. Ἐγένοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα. Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ.

**Προκείμενον ἦχος βαρύς. Ψαλμ.** 58.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεὸς καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

**Στίχος.** Ρῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Ἰὼβ τὸ ἀνάγνωσμα.

(Κεφ. ΛΗ'. 1).

Εἶπε Κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν· τίς οὗτος ὁ κρύπτων με βουλήν, συνέχων δὲ ρήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; Ζῶσαι, ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; ἀπάγγειλον δέ μοι, εἰ ἐπίστασαι σύνεσιν. Τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς; ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι; τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς; Ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου· ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαιοῦτο ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη· ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα· ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας. Εἶπον δὲ αὐτῇ· μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα. Ἢ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν; Ἑωσφόρος δὲ οἶδε τὴν ἑαυτοῦ τάξιν, ἐπιλαβέσθαι πτερύγων γῆς, ἐκτινάξαι ἀσεβεῖς ἐξ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

αὐτῆς; Ἢ σύ, λαβὼν πηλόν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ τῆς γῆς; ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας; ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾄδου ἰδόντες σε ἔπτηξαν; νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ' οὐρανόν; Ἀνάγγειλον δέ μοι· πόσις τίς ἐστι; ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς; σκότους δὲ ποῖος τόπος; Εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν, εἰ καὶ ἐπίστασαι τρίβους αὐτῶν. Οἶδας ἄρα ὅτι τότε γεγένησαι, ἀριθμὸς δὲ ἐτῶν σου πολύς; Ὑπολαβὼν δὲ Ἰώβ, τῷ Κυρίῳ λέγει· οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. Τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴεται κρύπτειν; Τίς δὲ ἀναγγελεῖ μοι, ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυμαστά, ἃ οὐκ ἠπιστάμην; Ἄκουσον δέ μου, Κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον· ἀκοὴν μὲν ὠτός, ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. Κεφ. Ν', 4.

Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· ἔθηκέ με πρωῒ πρωΐ, προσέθηκέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα· ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη. Διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν· καὶ ἔγνων, ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με. Τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι. Ἰδοὺ Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. Οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίξασθε ἐπὶ τῷ Θεῷ. Ἰδοὺ πάντες ὑμεῖς ὡς πῦρ καίετε, καὶ κατισχύετε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Καὶ εὐθὺς συναπτὴ μικρά, **τοῦ Κυρίου δεηθῶμεν.** Ἡ ἐκφώνησις· **Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.** Τὸ τρισάγιον. Ὁ Ἀπόστολος.

Προκείμενον ἦχος βαρύς.

**Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.**

Στίχος. **Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;**

Πρὸς Κορινθίους Α' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.
(Κεφ. ΙΑ'. 23).

Ἀδελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· λάβετε φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸ , καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτὸν διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ τοῦ Κυριου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Ἀλληλούϊα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## Εὐαγγέλιον.

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΣΤ΄. 2—75. ΚΖ΄. 1—2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν. Ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς. Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπε· τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ. Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; Ὁ δὲ εἶπεν· ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ· ὁ διδάσκαλος λέγει, ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα. Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῶν δώδεκα. Καὶ ἐσθιόντων αὐτῶν εἶπεν· ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. Καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· μήτι ἐγώ εἰμι, Κύριε; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπε· μήτι ἐγώ εἰμι, ῥαββί; Λέγει αὐτῷ· σὺ εἶπας. Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς καὶ εἶπε· λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου· καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν· Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ, «πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης»· μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με. Λέγει αὐτῷ ὁ Πέτρος· κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. Ὁμοίως δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς· καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ. Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. Καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πον αὐτοῦ προσευχόμενος καὶ λέγων· πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ! Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων· πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. Καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. Καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν πάλιν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών. Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς· καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε! ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. Ἐγείρεσθε ἄγωμεν· ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. Καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. Ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν. Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπε· χαῖρε, ραββί, καὶ κατεφίλησεν αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε, ἐφ' ᾧ πάρει. Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται. Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτω δεῖ γενέσθαι; Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη. Χαλκίδας

Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον. Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ ὅπως θανατώσωσιν αὐτόν, καὶ οὐχ εὗρον· καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες εἶπον· οὗτος ἔφη, δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ· τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτόν, οἱ δὲ ἐρράπισαν λέγοντες· προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε; Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν αὐτῶν πάντων λέγων· οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει αὐτοῖς· ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ εὐθέως ἀλέκτωρ ἐφώ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

νησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς. Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Μ. Βασιλείου. Ἀντὶ δὲ τοῦ χερουβικοῦ καὶ τοῦ κοινωνικοῦ ψάλλομεν τὸ παρὸν τροπάριον. Ἦχος πλ. β'.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· [*] ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Τὸ αὐτὸ καὶ ἀντὶ τοῦ, Εἴδομεν τὸ φῶς. Ἐπειδὴ μετὰ τό, Μετὰ φόβου Θεοῦ ἀμέσως ἄρχονται κοινωνεῖν οἱ ἀδελφοὶ τῶν ἀχράντων μυστηρίων, τὸ τροπάριον τοῦτο πολλάκις ἐπαναλαμβάνεται ὑπὸ τῶν χορῶν, μέχρις οὗ κοινωνήσωσι πάντες.

Εἴη τὸ ὄνομα Κυρίου. Ἡ ἀπόλυσις. Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας ἐν τῷ νίψαι τοὺς πόδας τῶν μαθητῶν καὶ μέχρι Σταυροῦ καὶ ταφῆς συγκαταβὰς ἡμῖν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν κτλ.

Δι' εὐχῶν κτλ.

## ΕΥΧΑΡΙΣΤΙΑ ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΜΕΤΑΛΗΨΙΝ

Στίχοι εἰς τὴν Εὐχαριστίαν ταύτην προτρεπτικοί.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας,
τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,

[*] Ὧδε γίνεται ἡ μεγάλη Εἴσοδος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὕμνησον εὐθὺς, εὐχαρίστησον μέγα,
καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι ὁ Θεός. Δόξα σοι ὁ Θεός. Δόξα σοι ὁ Θεός.

Καὶ εὐθὺς τὰς ἑπομένας εὐχαριστηρίους εὐχάς.

## ΑΝΩΝΥΜΟΥ

Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλὸν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλὰ, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου μυστήρια, ἐπ᾽ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου, δι᾽αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντὸς, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω, τοῦ τῇδε βίου ἀπάρας ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γάρ εἶ τὸ ὄντως ἐφετὸν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Δέσποτα Χριστὲ, ὁ Θεὸς, βασιλεῦ τῶν αἰώνων καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε. Φύλαξόν με ὑπὸ τὴν σκέπην σου καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μή, πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.
Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον· ἁγίασον τὰς φρένας·
τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με
ἐκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου.
Ἅγνιζε καὶ κάθαρε καὶ ρύθμιζέ με·
κάλλυνε, συνέτιζε καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν' ὡς σὸν οἶκον, εἰσόδῳ κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖσδε τὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,
καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν, ἀγαθὲ, τῶν ψυχῶν καὶ λαμπρότης·
καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

## ΑΝΩΝΥΜΟΥ

Τὸ σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαρὰν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

## ΑΝΩΝΥΜΟΥ

### Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπὶς, ἡ σκέπη, ἡ καταφυγὴ, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με μέχρι τελευταίας μου ἀναπνοῆς ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΑΧΡΑΝΤΩΝ ΠΑΘΩΝ
## ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ (*)

### ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ
### ΕΝ ΤΩ ΟΡΘΡΩ

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ ἑσπέρας, περὶ ὥραν πρώτην τῆς νυκτός, εὐλογήσαντος τοῦ ἱερέως, ὁ προεστὼς λέγει· **Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.** Βασιλεῦ οὐράνιε. Ὁ ἀναγνώστης τὸ Τρισάγιον. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστίν. Ὁ ἀναγνωστης· Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ' καὶ τοὺς ψαλμούς: Ἐπακοῦσαί σου Κύριος (βραδέως ἕως οὗ θυμιάσῃ ὁ ἱερεύς).

(*) Ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τῇ ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ ἑσπέρας σημαίνει τὴν ιβ' ὥραν, μετὰ ἡμίσειαν δ' ὥραν κατέρχεται ὁ πατριάρχης εἰς τὸν ναόν. Εὐλογήσας δὲ τὸν λαόν, ἀνέρχεται εἰς τὸν θρόνον. Ὁ Μ. ἀρχιμανδαίτης, ὁ Μ. ἀρχιδιάκονος καὶ ὁ δευτερεύων λαμβάνουσι καιρὸν παρὰ τοῦ πατριάρχου, ἕπονται δὲ ὁ τριτεύων καὶ οἱ λοιποὶ διάκονοι, καὶ εἰσέρχονται εἰς τὸ Ἅγιον Βῆμα. Μένει δὲ παρὰ τῷ πατριάρχῃ μόνον ὁ Μ. ἀρχιδιάκονος. Ὁ Μ. ἀρχιμανδρίαης μετὰ ἐπιτραχηλίου ἐνώπιον τῆς ἁγίας τραπέζης ποιεῖ **Εὐλογητόν.**

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα τὸ Τρισάγιον, τὰ τροπάρια Σῶσον Κύριε κτλ. Ὁ προεστὼς τὸν Ἑξάψαλμον (σελ. 4). Εἶτα ἡ μεγάλη συναπτὴ καὶ ψάλλεται τὸ σύντομον Ἀλληλουϊάριον ἐκ δ' μετὰ τῶν στίχων, καὶ τὸ

Τροπάριον. Ἦχος πλ. δ'. (*)

Ὅτε οἱ ἔνδοξοι μαθηταὶ ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβὴς φιλαργυρίαν νοσήσας ἐσκοτίζετο· καὶ ἀνόμοις κριταῖς σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι. Βλέπε, χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχήν, τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθός, Κύριε, δόξα σοι.

Τὸ τροπάριον τοῦτο ψάλλεται δὶς ἀργῶς καὶ ἅπαξ συντόμως, καὶ ἀναγινώσκεται ὑπὸ τοῦ προεστῶτος τὸ Εὐαγγέλιον τῆς Διαθήκης.

---

(*) Ἀρχομένου τοῦ μέλους, **Ὅτε οἱ ἔνδοξοι μαθηταί,** οἱ μέλλοντες χοροστατῆσαι ἀρχιερεῖς ἐξέρχονται τῆς νοτίου πύλης τοῦ ἱεροῦ Βήματος, προπορευομένου τοῦ Μ. ἐκκλησιάρχου, καὶ ἵστανται ἕκαστος κατὰ τάξιν ἐν τῇ οἰκείᾳ αὐτοῦ θέσει. Ὁ δὲ Μ. ἐκκλησιάρχης, ποιήσας σχῆμα τῷ πατριάρχῃ, εἰσέρχεται εἰς τὸ ἱερὸν Βῆμα, εὐθὺς δὲ καὶ ὁ Μ. Ἀρχιδιάκονος ποιήσας σχῆμα εἰσέρχεται εἰς τὸ ἱερόν, ἵνα ἐνδυθῇ, ἀφεὶς εἰς τὴν θέσιν αὐτοῦ ἕνα τῶν διακόνων. Ἀρχομένου δὲ τοῦ β' χοροῦ ψάλλειν τὸ δεύτερον, **Ὅτε οἱ ἔνδοξοι μαθηταί,** ὁ Μ. ἀρχιδιάκονος μετὰ τῶν λοιπῶν διακόνων ἐξέρχονται ἀπὸ τῆς Ὡραίας Πύλης, ἐνδεδυμένοι τὰς ἱερὰς αὐτῶν στολὰς καὶ κρατοῦντες ὁ μὲν Μ. ἀρχιδιάκονος καὶ ὁ δευτερεύων τὰ τρικήρια, ὁ δὲ τριτεύων καὶ ὁ τέταρτος τῶν διακόνων τὰ δικήρια, ἵστανται περὶ τὸν θρόνον, ἐκ δεξιῶν μὲν ὁ Μ. ἀρχιδιάκονος μετὰ τοῦ τριτεύοντος, ἐξ ἀριστερῶν δὲ ὁ δευτερεύων καὶ ὁ τέταρτος τῶν διακόνων. Ἀρχομένου δὲ τοῦ α' χοροῦ ψάλλειν τὸ τρίτον, **Ὅτε οἱ ἔνδοξοι μαθηταί,** ἀργοσυντόμως, ὁ πατριάρχης κατέρχεται τοῦ θρόνου καὶ προπορευομένων τοῦ Μ. ἐκκλησιάρχου, τοῦ πριμικηρίου κρατοῦντος τὸ διβάμβουλον καὶ τῶν διακόνων, εἰσέρχεται διὰ τῆς Ὡραίας Πύλης εἰς τὸ ἱερὸν καὶ ἐνδύεται ἐπιτραχήλιον καὶ ὠμοφόριον. Εἶτα τιθέασιν ἔμπροσθεν τῆς Ὡραίας Πύλης τὸ τρισκέλιον καὶ ἐπ' αὐτοῦ τὸ ἱερὸν Εὐαγγέλιον, καὶ οἱ μὲν διάκονοι ἐξερχόμενοι ἵστανται ἀνὰ δύο περὶ αὐτὸ κρατοῦντες τὰ δικηροτρίκηρα, ὁ δὲ πριμικήριος μετὰ τῆς λαμπάδος ἀπέναντι τῆς Ὡραίας Πύλης. Πληρωθέντος δὲ τοῦ μέλους, ὁ Μ. ἀρχιδιάκονος ἐκφωνεῖ· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κτλ. Ὁ πατριάρχης εἰρηνεύσας τὸν λαόν, ἀναγινώσκει τὸ α' Εὐαγγέλιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΕΥΑΓΓΕΛΙΟΝ ΠΡΩΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ
(ΙΓ' 31—38. ΙΔ'. ΙΕ'. ΙΣΤ'. ΙΖ'. καὶ ΙΗ' 1).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. Τεκνία, ἔτι μικρὸν μεθ'ὑμῶν εἰμί. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς ἰουδαίοις ὅτι ὅπου ὑπάγω ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. Ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι. Λέγει αὐτῷ ὁ Πέτρος· Κύριε, διατί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θύσω. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις! ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν. Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν· καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε· καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. Εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐμὲ ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι, καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε, καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, καὶ τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με πατρός. Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν. Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὑμῖν. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα· ὅτι ὁ πατήρ μου μείζων μού ἐστι· καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε. Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πατὴρ, οὕτω ποιῶ. Ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν. Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτὸ, καὶ πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολὺν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς τὸ πῦρ βάλλουσι, καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσασθε, καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν. Οὐχ ὑμεῖς με

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. Ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι «ἐμίσησάν με δωρεάν». Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. Καὶ ταῦτα ποιήσουσιν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ. Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με ποῦ ὑπάγεις! Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν· ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως. Περὶ ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ. Περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με. Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν Πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα; Ἔλεγον οὖν· τοῦτο τί ἐστιν ὃ λέγει τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν. Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. Ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ἴδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. Νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ. Ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· ἄρτι πιστεύετε· ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστί. Ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε, καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσει αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω· καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου. Σοὶ ἦσαν καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι. Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· ὅτι τὰ ῥήματα, ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι, καὶ τὰ ἐμὰ πάντα σά ἐστι καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. Νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λογος ὁ σὸς ἀλήθειά ἐστι. Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον· καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ. Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. Καὶ ἐγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἓν ἐσμέν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας. Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ἣν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας· καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

Μετὰ τὸ Α' Εὐαγγέλιον (*), εὐθὺς ὁ α' χορὸς ψάλλει τὸ **Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι,** ὅπως καὶ μετὰ τὸ

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ πληρωθέντος τοῦ Α' Εὐαγγελίου, ὁ πατριάρχης εὐλογεῖ τὸν λαὸν διὰ τρικηρίου, τῶν χορῶν ψαλλόντων τό, Εἰς πολλὰ ἔτη Δέσποτα,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Β' Εὐαγγέλιον, ἐφεξῆς ὅμως πληρουμένου ἑκάστου Εὐαγγελίου, ψάλλεται τὸ αὐτὸ ἐναλλὰξ ὑπὸ τῶν χορῶν.

Εἶτα ὁ α' χορὸς ἄρχεται ψάλλειν τὰ παρόντα 'Αντίφωνα (*).

'Αντίφωνον α'. Ἦχος πλ. δ'.

Ἄρχοντες λαῶν συνήχθησαν κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Ἦχος ὁ αὐτός.

Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ· Κύριε, Κύριε, μὴ ἐγκαταλίπῃς με.

Ἦχος ὁ αὐτός.

Τὰς αἰσθήσεις ἡμῶν καθαρὰς τῷ Χριστῷ παραστήσωμεν, καὶ ὡς φίλοι αὐτοῦ, τὰς ψυχὰς ἡμῶν θύσωμεν δι' αὐτόν, καὶ μὴ ταῖς μερίμναις τοῦ βίου, συμπνιγῶμεν ὡς ὁ 'Ιούδας· ἀλλ' ἐν τοῖς ταμείοις ἡμῶν κράξωμεν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἀπὸ τοῦ πονηροῦ ῥῦσαι ἡμᾶς.

---

καὶ εἰσέρχεται εἰς τὸ ἱερὸν Βῆμα. 'Αποθέσας δὲ τὸ ἐπιτραχήλιον καὶ ὠμοφόριον ἐπὶ τῆς ἁγίας τραπέζης, ἐξέρχεται, προπορευομένου τοῦ πριμικηρίου, τοῦ Μ. ἀρχιδιακόνου καὶ τοῦ δευτερεύοντος καὶ ἵσταται αὖθις ἐπὶ τοῦ θρόνου. 'Ο δὲ πριμικήριος ποιήσας σχῆμα τῷ πατριάρχῃ ἀποχωρεῖ, ταὐτοχρόνως δὲ καὶ ὁ Μ. ἀρχιδιάκονος μετὰ τοῦ δευτερεύοντος ἀποχωροῦσι καὶ ἐκδυθέντες τὰς διακονικὰς αὐτῶν στολάς, ἐξέρχονται καὶ ἵστανται παρὰ τὸν θρόνον τοῦ πατριάρχου.

(*) 'Αρχομένου τοῦ χοροῦ ψάλλειν τὰ 'Αντίφωνα, εἰς τὸ β' 'Αντίφωνον ὁ Μ. ἐκκλησιάρχης μετὰ τοῦ τριτεύοντος καὶ τοῦ δ' διακόνου ἐξέρχονται τῆς 'Ωραίας Πύλης, καὶ οἱ μὲν ἵστανται περὶ αὐτήν, ὁ δὲ Μ. ἐκκλησιάρχης προσέρχεται τῷ πρωτοθρόνῳ ἀρχιερεῖ καὶ προσκαλεῖ αὐτόν, ποιῶν σχῆμα. Οὗτος δὲ ἀσπασάμενος τὴν χεῖρα τοῦ πατριάρχου, εἰσέρχεται εἰς τὸ ἱερὸν Βῆμα, προπορευομένων τοῦ τε ἐκκλησιάρχου καὶ τῶν διακόνων, οἵτινες ἐξέρχονται αὖθις καὶ ἵστανται περὶ τὸ ἱερὸν Εὐαγγέλιον, κρατοῦντες δικηροτρίκηρα, ὁ δὲ ἐνδύεται ἐπιτραχήλιον καὶ ὠμοφόριον. Πληρωθέντος δὲ τοῦ Καθίσματος, **Ἐν τῷ δείπνῳ τοὺς μαθητάς,** ὁ τριτεύων ἐκφωνεῖ· **Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.** 'Ο πατριάρχης, **Εἰρήνη πᾶσι·** ὁ δὲ ἀρχιερεὺς ἀναγινώσκει τὸ δεύτερον Εὐαγγέλιον. 'Ο αὐτὸς τρόπος τῆς προσκλήσεως ἐπαναλαμβάνεται καὶ πρὸς τοὺς λοιποὺς χοροστατοῦντας ἁγίους ἀρχιερεῖς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα καὶ νῦν. Θεοτόκιον.

Ἦχος ὁ αὐτός.

Παρθένος ἔτεκες, ἀπειρόγαμε, καὶ παρθένος ἔμεινας, Μῆτερ ἀνύμφευτε, Θεοτόκε Μαρία· Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε, σωθῆναι ἡμᾶς.

Ἀντίφωνον β΄. Ἦχος πλ. β΄.

Ἔδραμε, λέγων ὁ Ἰούδας τοῖς παρανόμοις γραμματεῦσι· τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Ἐν μέσῳ δὲ τῶν συμφωνούντων, αὐτὸς εἱστήκεις ἀοράτως συμφωνούμενος. Καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Ἐν ἐλέει τὸν Θεὸν θεραπεύσωμεν, ὥσπερ Μαρία ἐπὶ τοῦ δείπνου, καὶ μὴ κτησώμεθα φιλαργυρίαν, ὡς ὁ Ἰούδας, ἵνα πάντοτε μετὰ Χριστοῦ τοῦ Θεοῦ ἐσώμεθα.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Ὃν ἔτεκες, Παρθένε, ἀνερμηνεύτως, διὰ παντὸς, ὡς φιλάνθρωπον, μὴ διαλίπῃς δυσωποῦσα, ἵνα κινδύνων σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

Ἀντίφωνον γ΄. Ἦχος β΄.

Διὰ Λαζάρου τὴν ἔγερσιν, Κύριε, τὸ Ὡσαννά σοι ἐκραύγαζον παῖδες τῶν ἑβραίων, φιλάνθρωπε· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ δείπνῳ σου, Χριστὲ ὁ Θεὸς, τοῖς μαθηταῖς σου προέλεγες· εἷς ἐξ ὑμῶν παραδώσει με· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ἰωάννῃ ἐρωτήσαντι, Κύριε, ὁ παραδιδούς σε τίς ἐστι; τοῦτον διὰ τοῦ ἄρτου ὑπέδειξας· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Εἰς τριάκοντα ἀργύρια, Κύριε, καὶ εἰς φίλημα δόλιον, ἐζήτουν ἰουδαῖοι ἀποκτεῖναί σε· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εν τῷ νιπτῆρι σου, Χριστὲ ὁ Θεός, τοῖς μαθηταῖς σου προέτρεπες· οὕτω ποιεῖτε, ὥσπερ εἴδετε· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ πειρασθῆτε, τοῖς μαθηταῖς σου ὁ Θεὸς ἡμῶν ἔλεγες· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Κάθισμα. Ἦχος βαρύς.

Εν τῷ δείπνῳ τοὺς μαθητὰς διατρέφων, καὶ τὴν σκῆψιν τῆς προδοσίας γινώσκων, ἐν αὐτῷ τὸν Ἰούδαν διήλεγξας· ἀδιόρθωτον μὲν τοῦτον ἐπιστάμενος, γνωρίσαι δὲ πᾶσι βουλόμενος, ὅτι θέλων παρεδόθης, ἵνα κόσμον ἁρπάσῃς τοῦ ἀλλοτρίου· μακρόθυμε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ
(ΚΕΦ. ΙΗ΄. 1—28).

Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν ὁ Ἰησοῦς σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. Ἤδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη καὶ ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτόν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. Ὡς οὖν εἶπεν αὐτοῖς ὅτι ἐγώ εἰμι,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. Πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· τίνα ζητεῖτε; οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. Ἀπεκρίθη Ἰησοῦς· εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι. Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν· ἵνα πληρωθῇ ὁ λόγος, ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιραν εἰς τὴν θήκην· τὸ ποτήριον, ὃ δέδωκέ μοι ὁ Πατὴρ, οὐ μὴ πίω αὐτό; Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν, καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής. Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως· ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. Ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· οὐκ εἰμί. Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο. Ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. Ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ εἰπών· οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἀπέστειλεν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Εἶπον οὖν αὐτῷ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο οὖν ἐκεῖνος καὶ εἶπεν· οὐκ εἰμί. Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

Εἰς τὸ τέλος ὁ μὲν α' χορὸς ψάλλει καὶ αὖθις τό, **Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι,** ὁ δὲ β' χορὸς ἄρχεται τοῦ δ' Ἀντιφώνου.

Ἀντίφωνον δ'. Ἦχος πλ. α'.

Σήμερον ὁ Ἰούδας καταλιμπάνει τὸν διδάσκαλον καὶ παραλαμβάνει τὸν διάβολον· τυφλοῦται τῷ πάθει τῆς φιλαργυρίας, ἐκπίπτει τοῦ φωτὸς ὁ ἐσκοτισμένος· πῶς γὰρ ἠδύνατο βλέπειν, ὁ τὸν φωστῆρα πωλήσας τριάκοντα ἀργυρίων; Ἀλλ' ἡμῖν ἀνέτειλεν ὁ παθὼν ὑπὲρ τοῦ κόσμου, πρὸς ὃν βοήσωμεν· ὁ παθὼν καὶ συμπαθῶν ἀνθρώποις, δόξα σοι.

Σήμερον ὁ Ἰούδας παραποιεῖται θεοσέβειαν καὶ ἀλλοτριοῦται τοῦ χαρίσματος· ὑπάρχων μαθητής, γίνεται προδότης· ἐν ἤθει φιλικῷ δόλον ὑποκρύπτει, καὶ προτιμᾶται ἀφρόνως τῆς τοῦ δεσπότου ἀγάπης τριάκοντα ἀργύρια, ὁδηγὸς γενόμενος συνεδρίου παρανόμου. Ἡμεῖς δὲ ἔχοντες σωτηρίαν τὸν Χριστόν, αὐτὸν δοξάσωμεν.

Ἦχος α'.

Τὴν φιλαδελφίαν κτησώμεθα, ὡς ἐν Χριστῷ ἀδελφοί, καὶ μὴ τὸ ἀσυμπαθὲς πρὸς τοὺς πλησίον ἡμῶν, ἵνα μὴ ὡς ὁ δοῦλος κατακριθῶμεν, ὁ ἀνελεήμων, διὰ τὰ δηνάρια, καὶ ὡς ὁ Ἰούδας μεταμεληθέντες μηδὲν ὠφελήσωμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα καὶ νῦν. Θεοτόκιον.

Δεδοξασμένα περὶ σοῦ ἐλαλήθη πανταχοῦ, ὅτι ἐκύησας σαρκὶ τὸν τῶν ὅλων ποιητήν, Θεοτόκε Μαρία, πανύμνητε καὶ ἀπειρόγαμε.

Ἀντίφωνον ε'. Ἦχος πλ. β'.

Ὁ μαθητὴς τοῦ διδασκάλου συνεφώνει τὴν τιμήν, καὶ τριάκοντα ἀργυρίοις πέπρακε τὸν Κύριον, φιλήματι δολίῳ παραδοὺς αὐτὸν τοῖς ἀνόμοις εἰς θάνατον.

Σήμερον ἔλεγεν ὁ κτίστης οὐρανοῦ καὶ γῆς τοῖς ἑαυτοῦ μαθηταῖς· ἤγγικεν ἡ ὥρα, καὶ ἔφθασεν Ἰούδας ὁ παραδιδούς με· μή τίς με ἀρνήσηται, βλέπων με ἐν τῷ Σταυρῷ, ἐν μέσῳ δύο λῃστῶν· πάσχω γὰρ ὡς ἄνθρωπος, καὶ σώζω ὡς φιλάνθρωπος τοὺς εἰς ἐμὲ πιστεύοντας.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Ἡ ἀρρήτως ἐπ' ἐσχάτων συλλαβοῦσα καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, Παρθένε, σῶζε τοὺς σὲ μεγαλύνοντας.

Ἀντίφωνον ϛ'. Ἦχος βαρύς.

Σήμερον γρηγορεῖ ὁ Ἰούδας, παραδοῦναι τὸν Κύριον, τὸν πρὸ τῶν αἰώνων Σωτῆρα τοῦ κόσμου, τὸν ἐκ πέντε ἄρτων χορτάσαντα πλήθη. Σήμερον ὁ ἄνομος ἀρνεῖται τὸν διδάσκαλον· μαθητὴς γενόμενος, δεσπότην παρέδωκεν· ἀργυρίῳ πέπρακε τὸν μάννα χορτάσαντα τὸν ἄνθρωπον.

Σήμερον τῷ Σταυρῷ προσήλωσαν Ἰουδαῖοι τὸν Κύριον, τὸν διατεμόντα τὴν θάλασσαν ῥάβδῳ καὶ διαγαγόντα αὐτοὺς ἐν ἐρήμῳ. Σήμερον τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἐκέντησαν, τοῦ πληγαῖς μαστίξαντος ὑπὲρ αὐτῶν τὴν Αἴγυπτον, καὶ χολὴν ἐπότισαν τὸν μάννα τροφὴν αὐτοῖς ὀμβρήσαντα.

Κύριε, ἐπὶ τὸ πάθος τὸ ἑκούσιον παραγενόμενος, ἐβόας τοῖς μαθηταῖς σου· κἂν μίαν ὥραν οὐκ ἰσχύσατε ἀγρυπνῆσαι μετ' ἐμοῦ, πῶς ἐπηγγείλασθε ἀποθνήσκειν δι' ἐμέ; Κἂν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τὸν Ἰούδαν θεάσασθε πῶς οὐ καθεύδει, ἀλλὰ σπουδάζει προδοῦναί με τοῖς παρανόμοις· ἐγείρεσθε, προσεύξασθε, μή τίς με ἀρνήσηται, βλέπων με ἐν τῷ Σταυρῷ. Μακρόθυμε, δόξα σοι.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Χαῖρε Θεοτόκε, ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς χωρήσασα ἐν μήτρᾳ σου· χαῖρε Παρθένε, τῶν προφητῶν τὸ κήρυγμα· δι' ἧς ἡμῖν ἔλαμψεν ὁ Ἐμμανουήλ· χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Κάθισμα. Ἦχος βαρύς.

Ποῖός σε τρόπος, Ἰούδα, προδότην τοῦ Σωτῆρος εἰργάσατο; Μὴ τοῦ χοροῦ σε τῶν Ἀποστόλων ἐχώρισε; Μὴ τοῦ χαρίσματος τῶν ἰαμάτων ἐστέρησε; Μή, συνδειπνήσας ἐκείνοις, σὲ τῆς τραπέζης ἀπώσατο; Μὴ τῶν ἄλλων νίψας τοὺς πόδας, τοὺς σοὺς ὑπερεῖδεν; Ὢ πόσων ἀγαθῶν ἀμνήμων ἐγένου! Καὶ σοῦ μὲν ἡ ἀχάριστος στηλιτεύεται γνώμη, αὐτοῦ δὲ ἡ ἀναίκαστος μακροθυμία κηρύττεται καὶ τὸ μέγα ἔλεος.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΡΙΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΣΤ' 57—75).

Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ ὅπως θανατώσωσιν αὐτὸν, καὶ οὐχ εὗρον· καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες εἶπον· οὗτος ἔφη, δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· οὐδὲν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ· τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτὸν, οἱ δὲ ἐρράπισαν λέγοντες· προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε; Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν αὐτῶν πάντων λέγων· οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει αὐτοῖς· ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς.

**Μετὰ τὸ τέλος ὁ β' χορὸς, Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.**

Εἶτα ἄρχεται ὁ α' χορος ψάλλειν τὰ ἑπόμενα ἀντίφωνα.

Ἀντίφωνον Ζ'. Ἦχος πλ. δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις, ἀνεχόμενος, οὕτως ἐβόας, Κύριε· εἰ καὶ ἐπατάξατε τὸν ποιμένα καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα, τοὺς μαθητάς μου, ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλων· ἀλλὰ μακροθυμῶ, ἵνα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πληρωθῇ ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου, ἄδηλα καὶ κρύφια· Κύριε, δόξα σοι.

Τρίτον ἀρνησάμενος ὁ Πέτρος, εὐθέως τὸ ῥηθὲν αὐτῷ συνῆκεν, ἀλλὰ προσήγαγέ σοι δάκρυα μετανοίας. Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Ὡς πύλην σωτήριον καὶ παράδεισον τερπνὸν, καὶ φωτὸς ἀϊδίου νεφέλην ὑπάρχουσαν, τὴν ἁγίαν Παρθένον ὑμνήσωμεν ἅπαντες, λέγοντες τὸ χαῖρε αὐτῇ.

Ἀντίφωνον Η'. Ἦχος β'.

Εἴπατε, παράνομοι, τί ἠκούσατε παρὰ τοῦ Σωτῆρος ἡμῶν; οὐ νόμον ἐξέθετο καὶ τῶν προφητῶν τὰ διδάγματα; Πῶς οὖν ἐλογίσασθε Πιλάτῳ παραδοῦναι τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν.

Σταυρωθήτω, ἔκραζον οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες, καὶ κακοῦργον ἀντ' εὐεργέτου ᾐτοῦντο λαβεῖν οἱ τῶν δικαίων φονευταί· ἐσιώπας δὲ, Χριστὲ, φέρων αὐτῶν τὴν προπέτειαν, παθεῖν θέλων καὶ σῶσαι ἡμᾶς ὡς φιλάνθρωπος.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν δεσπότου· μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἀντίφωνον Θ'. Ἦχος γ'.

Ἔστησαν τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ. Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· διὰ τοῦτο γρηγορεῖτε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· σὺ δὲ, Κύριε, ἀνάστησόν με καὶ ἀνταποδώσω αὐτοῖς.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε, Θεοτόκε ἁγνὴ, ὅτι Χριστὸν τὸν Θεὸν ἡμῶν ἔτεκες, τὸν ἐκ τῆς κατάρας τοὺς ἀνθρώπους διά σοῦ ἐλευθερώσαντα.

Κάθισμα. Ἦχος πλ. δ΄.

Ὢ πῶς Ἰούδας, ὁ ποτέ σου μαθητὴς, τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ! Συνεδείπνησε δολίως ὁ ἐπίβουλος καὶ ἄδικος· πορευθεὶς εἶπε τοῖς ἱερεῦσι· τί μοι παρέχετε, καὶ παραδώσω ὑμῖν ἐκεῖνον, τὸν νόμον λύσαντα καὶ βεβηλοῦντα τὸ σάββατον; Μακρόθυμε Κύριε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

(ΚΕΦ. ΙΗ΄. 28—40 καὶ ΙΘ΄. 1—16).

Τῷ καιρῷ ἐκείνῳ ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. Ἐξῆλθεν οὖν ὁ Πιλᾶτος πρὸς αὐτοὺς καὶ εἶπε· τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος· λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα· ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλᾶτος καὶ ἐφώνησε τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις ἢ ἄλλοι σοὶ εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλᾶτος· μήτι ἐγὼ ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; Ἀπεκρίθη Ἰησοῦς· ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος· οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη Ἰησοῦς· σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ. Ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. Λέγει αὐτῷ ὁ Πιλάτος· τί ἐστιν ἀλήθεια; καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθε πρὸς τοὺς ἰουδαίους καὶ λέγει αὐτοῖς· ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. Ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν ἰουδαίων; Ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες· μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής. Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσε. Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτὸν καὶ ἔλεγον· χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλᾶτος καὶ λέγει αὐτοῖς· ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον, καὶ λέγει αὐτοῖς· ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες· σταύρωσον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Θεοῦ υἱὸν ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν καὶ λέγει τῷ Ἰησοῦ· πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος· ἐμοὶ οὐ λαλεῖς; οὐκ εἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη Ἰησοῦς· οὐκ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει. Ἐκ τούτου ἐζήτει ὁ Πιλᾶτος ἀπολῦσαι αὐτόν· οἱ δὲ ἰουδαῖοι ἔκραζον λέγοντες· ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ καίσαρι. Ὁ οὖν Πιλᾶτος ἀκούσας τοῦτον τὸν λόγον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, ἑβραϊστὶ δὲ Γαββαθᾶ. Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς ἰουδαίοις· ἴδε ὁ βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν· ἆρον ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· οὐκ ἔχομεν βασιλέα εἰ μὴ καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ.

Ὁ α' χορός, **Δόξα τῇ μακροθυμίᾳ σου,** εἶτα δὲ ὁ β' χορὸς ἄρχεται ψάλλειν

Ἀντίφωνον ι'. Ἦχος πλ. β'.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, γυμνὸς εἰς κρίσιν ἵστατο, καὶ ἐν σιαγόνι ῥάπισμα ἐδέξατο, ὑπὸ χειρῶν ὧν ἔπλασεν· ὁ δὲ παράνομος λαὸς τῷ Σταυρῷ προσήλωσε τὸν Κύριον τῆς δόξης· τότε τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη· ὁ ἥλιος ἐσκότασε, μὴ φέρων θεάσασθαι Θεὸν ὑβριζόμενον, ὃν τρέμει τὰ σύμπαντα. Αὐτὸν προσκυνήσωμεν.

Ὁ μαθητὴς ἠρνήσατο, ὁ λῃστὴς ἐβόησε· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Εἰρήνευσον τὸν κόσμον ὁ ἐκ Παρθένου καταδεξάμενος, Κύριε, σάρκα φορέσαι ὑπὲρ δούλων, ἵνα συμφώνως σὲ δοξολογῶμεν, φιλάνθρωπε.

Ἀντίφωνον ια'. Ἦχος πλ. β'.

Ἀντὶ ἀγαθῶν, ὧν ἐποίησας, Χριστέ, τῷ γένει τῶν ἑβραίων, σταυρωθῆναί σε κατεδίκασαν, ὄξος καὶ χολήν σε ποτί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σαντες. Ἀλλὰ δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι οὐ συνῆκαν τὴν σὴν συγκατάβασιν.

Ἐπὶ τῇ προδοσίᾳ οὐκ ἠρκέσθησαν, Χριστὲ, τὰ γένη τῶν ἑβραίων, ἀλλ' ἐκίνουν τὰς κεφαλὰς αὐτῶν, μυκτηρισμὸν καὶ χλεύην προσάγοντες. Ἀλλὰ δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Οὔτε γῆ ὡς ἐσείσθη, οὔτε πέτραι ὡς ἐρράγησαν, ἑβραίους ἔπεισαν, οὔτε τοῦ ναοῦ τὸ καταπέτασμα, οὔτε τῶν νεκρῶν ἡ ἀνάστασις. Ἀλλὰ δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνὴ, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες, μεγαλύνομεν.

Ἀντίφωνον ιβ'. Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς ἰουδαίοις· λαός μου, τί ἐποίησά σοι, ἢ τί σοι παρηνώχλησα; Τοὺς τυφλούς σου ἐφώτισα, τοὺς λεπροὺς ἐκαθάρισα, ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην. Λαός μου, τί ἐποίησά σοι καὶ τί μοι ἀνταπέδωκες; Ἀντὶ τοῦ μάννα χολὴν, ἀντὶ τοῦ ὕδατος ὄξος, ἀντὶ τοῦ ἀγαπᾷν με, Σταυρῷ με προσηλώσατε. Οὐκέτι στέργω λοιπόν· καλέσω μου τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι· κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν τὴν αἰώνιον.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων· καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, Δεσπότην ὁρῶν σταυρούμενον.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ, ἰουδαῖοι καὶ φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων βοᾷ πρὸς ὑμᾶς· ἴδε ναὸς, ὃν ὑμεῖς ἐλύσατε, ἴδε ἀμνὸς, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη. Μὴ πλανᾶσθε, ἰουδαῖοι· αὐτὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς καὶ ἡ εἰρήνη τοῦ κόσμου.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Χαῖρε ἡ πύλη τοῦ βασιλέως τῆς δόξης, ἣν ὁ Ὕψιστος μόνος διώδευσε, καὶ πάλιν ἐσφραγισμένην κατέλιπεν, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Κάθισμα. Ἦχος πλ. δ'.

Ὅτε παρέστης τῷ Καϊάφᾳ ὁ Θεός, καὶ παρεδόθης τῷ Πιλάτῳ ὁ κριτής, αἱ οὐράνιαι Δυνάμεις ἐκ τοῦ φόβου ἐσαλεύθησαν· ὅτε δὲ ὑψώθης ἐπὶ τοῦ ξύλου ἐν μέσῳ δύο λῃστῶν, καὶ ἐλογίσθης μετὰ ἀνόμων ὁ ἀναμάρτητος, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον, ἀνεξίκακε, Κύριε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΠΕΜΠΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΖ'. 3—32).

Τῷ καιρῷ ἐκείνῳ ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος». Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· σὺ λέγεις. Καὶ ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῷ κατηγορῆσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλᾶτος· οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθη ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; λέγουσιν αὐτῷ πάντες· σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

Ὁ β' χορὸς, **Δόξα τῇ μακροθυμίᾳ σου.** Μετὰ τοῦτο ἄρχεται ὁ α' χορὸς τῶν ἀντιφώνων.

Ἀντίφωνον ιγ'. Ἦχος πλ. β'.

Τὸ ἄθροισμα τῶν ἰουδαίων τῷ Πιλάτῳ ᾐτήσατο σταυρωθῆναί σε, Κύριε· αἰτίαν γὰρ ἐν σοὶ μὴ εὑρόντες, τὸν ὑπεύθυνον Βαραββᾶν ἠλευθέρωσαν, καὶ σὲ τὸν δίκαιον κατεδίκασαν, μιαιφονίας ἔγκλημα πληρωσάμενοι. Ἀλλὰ δὸς αὐτοῖς, Κύριε, τὸ ἀνταπόδομα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Ὃν πάντα φρίσσει καὶ τρέμει, καὶ πᾶσα γλῶσσα ὑμνεῖ, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, οἱ ἱερεῖς ἐρράπισαν καὶ ἔδωκαν αὐτῷ χολήν. Καὶ πάντα παθεῖν κατεδέξατο, σῶσαι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῷ ἰδίῳ αἵματι, ὡς φιλάνθρωπος. Δόξα καὶ νῦν. Θεοτόκιον.

Θεοτόκε, ἡ τεκοῦσα διὰ λόγου ὑπὲρ λόγον τὸν κτίστην τὸν ἴδιον, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀντίφωνον ιδ'. Ἦχος πλ. δ'.

Κύριε, ὁ τὸν λῃστὴν συνοδοιπόρον λαβὼν, τὸν ἐν αἵματι χεῖρας μολύναντα, καὶ ἡμᾶς σὺν αὐτῷ καταρίθμησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μικρὰν φωνὴν ἀφῆκεν ὁ λῃστὴς ἐν τῷ Σταυρῷ, μεγάλην πίστιν εὗρε, μιᾷ ῥοπῇ ἐσώθη, καὶ πρῶτος Παραδείσου πύλας ἀνοίξας, εἰσῆλθεν· ὁ αὐτοῦ τὴν μετάνοιαν προσδεξάμενος, Κύριε, δόξα σοι. Δόξα καὶ νῦν. Θεοτόκιον.

Χαῖρε, ἡ δι' ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη· χαῖρε, ἡ τεκοῦσα τὸν ποιητήν σου καὶ Κύριον· χαῖρε, ἡ ἀξιωθεῖσα γενέσθαι μήτηρ Χριστοῦ τοῦ Θεοῦ (*).

---

(*) Ἐν τῇ Μ. τοῦ Χριστοῦ Ἐκκλησίᾳ μετὰ τὸ τέλος τοῦ Θεοτοκίου, ὁ Μ. ἀρχιμανδρίτ ης ἐνδεδυμένος ἐπιτ. αχήλιον καὶ φελόνιον, αἴρει τὸν Ἐσταυρωμένον, καὶ ποιή

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἰς τὸ τέλος τοῦ Θεοτοκίου τούτου γίνεται ἡ ἔξοδος τοῦ Σταυροῦ. Εἶτα ψάλλεται τὸ ἑπόμενον ἀντίφωνον ἀργοσυντόμως μόνον παρὰ τοῦ δεξιοῦ χοροῦ.

Ἀντίφωνον ιε'. Ἦχος πλ. β'.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας (ἐκ τρίτου). Στέφανον ἐξ ἀκανθῶν περιτίθεται ὁ τῶν ἀγγέλων βασιλεύς. Ψευδῆ πορφύραν περιβάλλεται ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. Ῥάπισμα κατεδέξατο ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ. Ἥλοις προσηλώθη ὁ νυμφίος τῆς Ἐκκλησίας. Λόγχῃ ἐκεντήθη ὁ υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὰ πάθη, Χριστὲ (ἐκ τρίτου). Δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Μὴ ὡς ἰουδαῖοι ἑορτάσωμεν· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς ὁ Θεός· ἀλλ' ἐκκαθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ, καὶ εἰλικρινῶς δεηθῶμεν αὐτῷ· ἀνάστα, Κύριε, σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὁ Σταυρός σου, Κύριε, ζωὴ καὶ ἀνάστασις ὑπάρχει τῷ λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν σταυρωθέντα Θεὸν ἡμῶν ὑμνοῦμεν. Ἐλέησον ἡμᾶς.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Ὁρῶσά σε κρεμάμενον, Χριστέ, ἡ σὲ κυήσασα ἀνεβόα· τί τὸ ξένον, ὃ ὁρῶ, μυστήριον, Υἱέ μου; Πῶς ἐπὶ ξύλου θνήσκεις, σαρκὶ πηγνύμενος ζωῆς χορηγέ;

Κάθισμα. Ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς καὶ τῇ λόγχῃ κεν-

σας κύκλον περὶ τὴν ἁγίαν Τράπεζαν, ψάλλει κατὰ τὸ ὕφος τοῦ Εὐαγγελίου ἐν κατανύξει τό, **Σήμερον κρεμᾶται ἐπὶ ξύλου**, ἐξέρχεται τῆς βορείου πύλης τοῦ ἱεροῦ Βήματος, προπορευομένων τοῦ πριμικηρίου, τῶν λαμπαδούχων καὶ δύο διακόνων, θυμιώντων, καὶ φθάνει εἰς τὸ μέσον τοῦ ναοῦ, ἔνθα πήγνυται ὁ Σταυρός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις· Σωτὴρ ἡμῶν, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΕΚΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ

(ΚΕΦ. ΙΕ'. 16—32).

Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ρούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον Κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν διαμερίζονται τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἐπ' αὐτὰ τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· ὁ βασιλεὺς τῶν ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη». Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· οὐά, ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτὸν καὶ κατάβα ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ β' χορός, Δόξα τῇ μακροθυμίᾳ σου. Μετὰ τοῦτο ὁ α' χορὸς ἄρχεται τῶν μακαρισμῶν.

Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Ἦχος δ'.

Διὰ ξύλου ὁ Ἀδὰμ παραδείσου γέγονεν ἄποικος· διὰ ξύλου δὲ Σταυροῦ ὁ λῃστὴς παράδεισον ᾤκησεν· ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος, ὁ δὲ, συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον. Μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Τὸν τοῦ νόμου ποιητὴν ἐκ μαθητοῦ ὠνήσαντο ἄνομοι, καὶ ὡς παράνομον αὐτὸν, τῷ Πιλάτου βήματι ἔστησαν, κραυγάζοντες· σταύρωσον, τὸν ἐν ἐρήμῳ τούτους μανναδοτήσαντα. Ἡμεῖς δὲ τὸν δίκαιον λῃστὴν μιμησάμενοι, πίστει κράζομεν· Μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Τῶν θεοκτόνων ὁ ἐσμὸς, ἰουδαίων ἔθνος τὸ ἄνομον, πρὸς Πιλάτον ἐμμανῶς ἀνακράζων, ἔλεγε· σταύρωσον Χριστὸν τὸν ἀνεύθυνον· Βαραββᾶν δὲ μᾶλλον οὗτοι ᾐτήσαντο. Ἡμεῖς δὲ φθεγγόμεθα λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν· Μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Ἡ ζωηφόρος σου πλευρὰ, ὡς ἐξ Ἐδὲμ πηγὴ ἀναβλύζουσα, τὴν Ἐκκλησίαν σου, Χριστὲ, ὡς λογικὸν ποτίζει παρά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δεισον, ἐντεῦθεν μερίζουσα, ὡς εἰς ἀρχὰς εἰς τέσσαρα Εὐαγγέλια, τὸν κόσμον ἀρδεύουσα, τὴν κτίσιν εὐφραίνουσα, καὶ τὰ ἔθνη πιστῶς διδάσκουσα προσκυνεῖν τὴν βασιλείαν σου.

Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ἐσταυρώθης δι' ἐμὲ, ἵνα ἐμοὶ πηγάσῃς τὴν ἄφεσιν· ἐκεντήθης τὴν πλευρὰν, ἵνα κρουνοὺς ζωῆς ἀναβλύσῃς μοι· τοῖς ἥλοις προσήλωσαι, ἵνα ἐγὼ τῷ βάθει τῶν παθημάτων σου, τὸ ὕψος τοῦ κράτους σου πιστούμενος, κράζω σοι, ζωοδότα Χριστέ· δόξα καὶ τῷ Σταυρῷ, Σῶτερ, καὶ τῷ πάθει σου.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Σταυρουμένου σου, Χριστὲ, πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε· τὰ θεμέλια τῆς γῆς διεδονεῖτο, φόβῳ τοῦ κράτους σου· φωστῆρες ἐκρύπτοντο, καὶ τοῦ ναοῦ ἐῤῥάγη τὸ καταπέτασμα· τὰ ὄρη ἐτρόμαξαν, καὶ πέτραι ἐσχίσθησαν, καὶ ληστὴς ὁ πιστὸς κραυγάζει σοι σὺν ἡμῖν, Σωτὴρ, τὸ Μνήσθητι.

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Τὸ χειρόγραφον ἡμῶν ἐν τῷ Σταυρῷ διέρρηξας, Κύριε, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς, τὸν ἐκεῖσε τύραννον ἔδησας, ρυσάμενος ἅπαντας ἐκ δεσμῶν θανάτου τῇ ἀναστάσει σου· δι' ἧς ἐφωτίσθημεν, φιλάνθρωπε Κύριε, καὶ βοῶμέν σοι· Μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ καὶ τοῦ θανάτου λύσας τὴν δύναμιν, καὶ ἐξαλείψας, ὡς Θεὸς, τὸ καθ' ἡμῶν χειρόγραφον, Κύριε, ληστοῦ τὴν μετάνοιαν καὶ ἡμῖν παράσχου, μόνε φιλάνθρωπε, τοῖς πίστει λατρεύουσι, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ βοῶσί σοι· Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα.

Τὸν Πατέρα καὶ Υἱόν, καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον, ὁμοφρόνως οἱ πιστοὶ δοξολογεῖν ἀξίως εὐξώμεθα, μονάδα θεότητος, ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν, ἀσύγχυτον μένουσαν, ἁπλῆν, ἀδιαίρετον, καὶ ἀπρόσιτον· δι' ἧς ἐκλυτρούμεθα τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν. Θεοτόκιον.

Τὴν Μητέρα σου, Χριστέ, τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε, καὶ Παρθένον ἀληθῶς καὶ μετὰ τόκον μείνασαν ἄφθορον, αὐτήν σοι προσάγομεν εἰς πρεσβείαν, Δέσποτα πολυέλεε, πταισμάτων συγχώρησιν δωρήσασθαι πάντοτε τοῖς κραυγάζουσι· Μνήσθητι καὶ ἡμῶν, Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Προκείμενον ἦχος δ'.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον (ἐκ τρίτου ψαλλόμενον).

Στίχος. Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;

ΕΥΑΓΓΕΛΙΟΝ ΕΒΔΟΜΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΖ'. 33—54).

Τῷ καιρῷ ἐκείνῳ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην: «Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων». Τότε σταυροῦνται σὺν αὐτῷ δύο λησταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ φαρισαίων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτῷ· πέποιθεν ἐπὶ τὸν Θεὸν, ρυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λησταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· «ἠλὶ ἠλὶ, λιμᾶ σαβαχθανί;» τοῦτ' ἔστι, «Θεέ μου Θεέ μου, ἱνατί με ἐγκατέλιπες;» τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος.

Ὁ α' χορὸς, **Δόξα τῇ μακροθυμίᾳ σου.** Μετὰ τοῦτο ὁ Ν' ψαλμὸς (σελ. 17). Εἶτα εὐθὺς ἀναγινώσκεται τὸ ὄγδοον Εὐαγγέλιον.

ΕΥΑΓΓΕΛΙΟΝ ΟΓΔΟΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ

(ΚΕΦ. ΚΓ' 32—49).

Τῷ καιρῷ ἐκείνῳ ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν κα-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

λούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· πάτερ, ἄφες αὐτοῖς οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλλον κλῆρον. Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· ἄλλους ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ καὶ λέγοντες· εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ρωμαϊκοῖς καὶ ἑβραϊκοῖς· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν ἰουδαίων. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστὸς, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λεγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου ἐκλείποντος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασε τὸν Θεὸν λέγων· ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον. Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ ἀπὸ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

**Ὁ β' χορὸς, Δόξα τῇ μακροθυμίᾳ σου. Εἶτα ἄρχεται] ὁ α' χορὸς ψάλλων τὸν κανόνα ἀνὰ δ' τροπάρια.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὠδὴ Ε'. Ἦχος πλ. β'. Ὁ Εἱρμός. (Δίς).

» Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν σεαυτὸν τῷ πε-
» σόντι κενώσαντα ἀτρέπτως, καὶ μέχρι παθῶν ἀπαθῶς
» ὑποκύψαντα, Λόγε Θεοῦ. Τὴν εἰρήνην παράσχου μοι, φιλάν-
» θρωπε».

Τροπάρια.

Δόξα.

Ῥιφθέντες πόδας καὶ προκαθαρθέντες, μυστηρίου μεθέξει, τοῦ θείου νῦν, Χριστὲ, σοῦ οἱ ὑπηρέται ἐκ Σιὼν ἐλαιῶνος μέγα πρὸς ὄρος συνανῆλθον, ὑμνοῦντές σε, φιλάνθρωπε.

Καὶ νῦν.

Ὁρᾶτε, ἔφης, φίλοι, μὴ θροεῖσθε, νῦν γὰρ ἤγγικεν ὥρα ληφθῆναί με, κτανθῆναι χερσὶν ἀνόμων· πάντες δὲ σκορπισθήσεσθε, ἐμὲ λιπόντες· οὓς συνάξω κηρύξαι με φιλάνθρωπον.

Καταβασία. Πρὸς σὲ ὀρθρίζω.

Συναπτὴ μικρά. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν· εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Ὁ Οἶκος.

Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς θεωροῦσα πρὸς σφαγὴν ἑλκόμενον ἠκολούθει Μαρία, τρυχομένη μεθ' ἑτέρων γυναικῶν, ταῦτα βοῶσα· ποῦ πορεύῃ, τέκνον; τίνος χάριν τὸν ταχὺν δρόμον τελεῖς; μὴ ἕτερος γάμος πάλιν ἐστὶν ἐν Κανᾷ, κακεῖ νῦν σπεύδεις, ἵν' ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς; συνέλθω σοι, τέκνον, ἢ μείνω σοι μᾶλλον; Δός μοι λόγον, Λόγε, μὴ σιγῶν παρέλθῃς με, ὁ ἁγνὴν τηρήσας με· σὺ γὰρ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Μηνολόγιον· εἶτα τὸ παρὸν ὑπόμνημα.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ, τὰ ἅγια καὶ σωτήρια καὶ φρικτὰ πάθη τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν· τοὺς ἐμπτυσμοὺς, τὰ ῥαπίσματα, τὰ κολαφίσματα, τὰς ὕβρεις, τοὺς γέλωτας, τὴν πορφυρᾶν χλαῖναν, τὸν κάλαμον, τὸν σπόγγον, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, καὶ πρὸ πάντων τὸν Σταυρὸν καὶ τὸν θάνατον, ἃ δι' ἡμᾶς ἑκὼν κατεδέξατο· ἔτι δὲ καὶ τὴν τοῦ εὐγνώμονος ληστοῦ, τοῦ συσταυρωθέντος αὐτῷ, σωτήριον ἐν τῷ Σταυρῷ ὁμολογίαν.

Στίχοι εἰς τὴν Σταύρωσιν.

Ζῶν εἶ Θεὸς σὺ, καὶ νεκρωθεὶς ἐν ξύλῳ,
ὢ νεκρὲ, γυμνὲ, καὶ Θεοῦ ζῶντος Λόγε.

Ἕτεροι εἰς τὸν εὐγνώμονα ληστήν.

Κεκλεισμένας ἤνοιξε τῆς Ἐδὲμ πύλας,
βαλὼν ὁ ληστὴς κλεῖδα τὸ, μνήσθητί μου.

Τῇ ὑπερφυεῖ καὶ περὶ ἡμᾶς παναπείρῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

» Στήλην κακίας ἀντιθέου παῖδες θεῖοι παρεδειγμάτισαν·
» κατὰ Χριστοῦ δὲ φρυαττόμενον ἄνομον συνέδριον, βου-
» λεύεται κενά· κτεῖναι μελετᾷ τὸν ζωῆς κρατοῦντα παλάμῃ·
» ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας».

Τροπάρια.

Ἀπὸ βλεφάρων, μαθηταὶ, νῦν ὕπνον, ἔφης, Χριστὲ, τινάξατε· ἐν προσευχῇ δὲ γρηγορεῖτε, πειρασμῷ μήπως ὄλυσθε, καὶ μάλιστα Σίμων· τῷ κραταιῷ γὰρ μείζων πεῖρα· γνῶθί με, Πέτρε, ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βέβηλον ἔπος τῶν χειλέων οὔποτε προήσομαι, Δέσποτα· σὺν σοὶ θανοῦμαι ὡς εὐγνώμων, κἂν οἱ πάντες ἀρνήσονται,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐβόησε Πέτρος· σὰρξ οὐδὲ αἷμα ὁ Πατήρ σου ἀπεκάλυψέ μοι σὲ, ὃν πᾶσα ἡ κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Βάθος σοφίας θεϊκῆς καὶ γνώσεως οὐ πᾶν ἐξηρεύνησας· ἄβυσσον δέ μου τῶν κριμάτων οὐ κατέλαβες, ἄνθρωπε· ὁ Κύριος ἔφη· σὰρξ οὖν ὑπάρχων, μὴ καυχῶ· ἀρνήσει τρίτον γάρ με· ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Ἀπαγορεύεις, Σίμων Πέτρε, ὅπερ πείσει τάχος, ὡς εἴρηται, καὶ σοὶ παιδίσκη, οἷα θᾶττον προσελθοῦσα ποιήσει σε· ὁ Κύριος ἔφη· πικρῶς δακρύσας, ἕξεις ὅμως εὐΐλατόν με· ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Στήλην κακίας ἀντιθέτου.

Εἶτα ἡ ἐκφώνησις· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς, καὶ ψάλλεται ἡ

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

» Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγ-
» κρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τε-
» κοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν».

Τροπάρια.

Ὀλέθριος σπεῖρα θεοστυγῶν, πονηρευομένων θεοκτόνων συναγωγὴ ἐπέστη, Χριστέ σοι, καὶ ὡς ἄδικον εἷλκε τὸν κτίστην τῶν ἁπάντων, ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς, φωνὰς προφητῶν τε μελετῶντες διακενῆς, ὡς πρόβατον εἷλκον σὲ τὸν πάντων Δεσπότην ἀδίκως σφαγιάσαι, ὃν μεγαλύνομεν.

Δόξα.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν, σὺν τοῖς γραμματεῦσιν ἀναιρεῖσθαι οἱ ἱερεῖς παρέσχον, πληγέντες αὐτοφθόνῳ κακίᾳ, τὸν φύσει ζωοδότην, ὃν μεγαλύνομεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ νῦν.

Ἐκύκλωσαν κύνες ὡσεὶ πολλοί, ἐκρότησαν, Ἄναξ, σιαγόνα σὴν ῥαπισμῷ· ἠρώτων σε, σοῦ δὲ ψευδῆ κατεμαρτύρουν, καὶ πάντα ὑπομείνας, ἅπαντας ἔσωσας.

Καταβασία. Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Συναπτὴ μικρά. Ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι.

Ἐξαποστειλάριον. Ἦχος γ' (*).

Τὸν λῃστὴν αὐθημερὸν τοῦ Παραδείσου ἠξίωσας, Κύριε· κἀμὲ τῷ ξύλῳ τοῦ Σταυροῦ φώτισον καὶ σῶσόν με (ἐκ γ').

Μετ' αὐτὸ ἀναγινώσκεται τὸ ἔννατον εὐαγγέλιον.

## ΕΥΑΓΓΕΛΙΟΝ ΕΝΝΑΤΟΝ
## ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ
(ΚΕΦ. ΙΘ'. 25—37).

Τῷ καιρῷ ἐκείνῳ εἱστήκεσαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· γύναι, ἴδε ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ· ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει· διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς εἶπε, τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν

(*) Ψαλλομένου παρὰ τοῦ πατριάρχου τοῦ Ἐξαποστειλαρίου, ἔρχεται ὁ πριμικήριος καὶ ἵσταται ἐν τῷ ὡρισμένῳ τόπῳ, ὡς εἴθισται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ «ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ». Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· «ὄψονται εἰς ὃν ἐξεκέντησαν».

Ὁ β' χορός, Δόξα τῇ μακροθυμίᾳ σου. Ὁ α' χορὸς ἄρχεται ψάλλειν τό, Πᾶσα πνοή(*).

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ' δευτεροῦντες τὸ πρῶτον ἰδιόμελον.

### Ἦχος γ'.

Στίχος α'. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Δύο καὶ πονηρὰ ἐποίησεν ὁ πρωτότοκος υἱός μου Ἰσραήλ· ἐμὲ ἐγκατέλιπε, πηγὴν ὕδατος ζωῆς, καὶ ὤρυξεν ἑαυτῷ φρέαρ συντετριμμένον· ἐμὲ ἐπὶ ξύλου ἐσταύρωσε, τὸν δὲ Βαραββᾶν ᾐτήσατο καὶ ἀπέλυσεν· ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε· σὺ δέ, Ἰσραήλ, οὐκ ἐνετράπης, ἀλλὰ θανάτῳ με παρέδωκες. Ἄφες αὐτοῖς, Πάτερ ἅγιε, οὐ γὰρ οἴδασι τί ἐποίησαν.

Στίχος β'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὸ αὐτὸ ἰδιόμελον.

Στίχος γ'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

(*) Εἰς τὸ **Αἰνεῖτε,** ὁ πατριάρχης κατέρχεται τοῦ θρόνου καὶ προσκυνεῖ τὸν Ἐσταυρωμένον· καὶ εὐλογήσας τὸν λαόν, τοῦ α' χοροῦ ψάλλοντος τό, **Εἰς πολλὰ ἔτη,** ἀνέρχεται αὖθις καὶ ἵσταται εἰς τὸν θρόνον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἕκαστον μέλος τῆς ἁγίας σου σαρκὸς ἀτιμίαν δι᾽ ἡμᾶς ὑπέμεινε· τὰς ἀκάνθας ἡ κεφαλή, ἡ ὄψις τὰ ἐμπτύσματα, αἱ σιαγόνες τὰ ῥαπίσματα, τὸ στόμα τὴν ἐν ὄξει κερασθεῖσαν χολὴν τῇ γεύσει, τὰ ὦτα τὰς δυσσεβεῖς βλασφημίας, ὁ νῶτος τὴν φραγγέλωσιν καὶ ἡ χεὶρ τὸν κάλαμον· αἱ τοῦ ὅλου σώματος ἐκτάσεις ἐν τῷ Σταυρῷ, τὰ ἄρθρα τοὺς ἥλους καὶ ἡ πλευρὰ τὴν λόγχην. Ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ παθῶν ἐλευθερώσας ἡμᾶς, ὁ συγκαταβὰς ἡμῖν φιλανθρωπίᾳ καὶ ἀνυψώσας ἡμᾶς, παντοδύναμε Σωτήρ, ἐλέησον ἡμᾶς.

Στίχος δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Σταυρωθέντος σου, Χριστέ, πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε· τὰ θεμέλια τῆς γῆς διεδονήθησαν φόβῳ τοῦ κράτους σου· σοῦ γὰρ ὑψωθέντος σήμερον, γένος ἑβραίων ἀπώλετο· τοῦ ναοῦ τὸ καταπέτασμα διερράγη διχῶς· τὰ μνημεῖα ἠνεῴχθησαν καὶ οἱ νεκροὶ ἐκ τῶν τάφων ἐξανέστησαν. Ἑκατόνταρχος ἰδὼν τὸ θαῦμα, ἔφριξε· παρεστῶσα δὲ ἡ Μήτηρ σου, ἐβόα θρηνῳδοῦσα μητρικῶς· πῶς μὴ θρηνήσω, καὶ τὰ σπλάγχνα μου τύψω, ὁρῶσά σε γυμνόν, ὡς κατάκριτον, ἐν ξύλῳ κρεμάμενον; Ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε, δόξα σοι.

Δόξα. Ἦχος πλ. β΄.

Ἐξέδυσάν με τὰ ἱμάτιά μου, καὶ ἐνέδυσάν με χλαμύδα κοκκίνην· ἔθηκαν ἐπὶ τὴν κεφαλήν μου στέφανον ἐξ ἀκανθῶν καὶ ἐπὶ τὴν δεξιάν μου χεῖρα ἔδωκαν κάλαμον, ἵνα συντρίψω αὐτοὺς ὡς σκεύη κεραμέως.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Τὸν νῶτόν μου ἔδωκα εἰς μαστίγωσιν, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ ἐμπτυσμάτων· βήματι Πιλάτου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

παρέστην, καὶ σταυρὸν ὑπέμεινα διὰ τὴν τοῦ κόσμου σωτηρίαν.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΕΚΑΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ

(ΚΕΦ. ΙΕ΄. 43 47).

Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε, καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν ἐνείλησε τῇ σινδόνι καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.

Ὁ α΄ χορός, **Δόξα τῇ μακροθυμίᾳ σου. Σοὶ δόξα πρέπει,** (χύμα). Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν. Ἐκφώνησις· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν. Μετ᾿ αὐτὴν ἀναγινώσκεται τὸ ια΄ εὐαγγέλιον.

ΕΥΑΓΓΕΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

(ΚΕΦ. ΙΘ΄. 38—42).

Τῷ καιρῷ ἐκείνῳ ἠρώτησε τὸν Πιλᾶτον Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας (ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν ἰουδαίων), ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἐπέτρεψεν ὁ Πιλᾶτος. Ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ. Ἦλθε δὲ καὶ Νικόδημος ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν τὸ πρῶτον, φέρων μῖγμα σμύρνης καὶ ἀλόης ὡς λίτρας ἑκατόν. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς ἰουδαίοις ἐνταφιάζειν. Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη· ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Ὁ α' χορός, Δόξα τῇ μακροθυμίᾳ σου. Ἀπὸ δὲ τοῦ β' χοροῦ ἄρχονται ψάλλεσθαι τὰ ἀπόστιχα (*).

Ἦχος α'.

Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ, θεωροῦσά σε ἐν Σταυρῷ κρεμάμενον, Χριστέ· ὁ ἥλιος ἐσκοτίζετο καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον τῷ τὰ πάντα κτίσαντι. Ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε, δόξα σοι.

Ἦχος β'.

Στίχος. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Λαὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε; Μέγα θαῦμα! ὅτι ὁ κτίστης τοῦ κόσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν ᾅδῃ δεσμώτας ἐλευθερώσῃ, κράζοντας· μακρόθυμε, Κύριε, δόξα σοι.

Στίχος. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Σήμερον σὲ θεωροῦσα ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ, Λόγε, ἀναρτώμενον, ὀδυρομένη μητρῷα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς, καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, παρειὰς σὺν θριξὶ καταξαίνουσα, κατετρύχετο·

(*) Ὁ Μ. ἀρχιδιάκονος μεταξὺ τούτου ποιήσας τῷ πατριάρχῃ σχῆμα εἰσέρχεται εἰς τὸ ἱερὸν καὶ ἐνδύεται τὴν στολὴν αὐτοῦ, ὅπως ἀναγνώσῃ τὸ τελευταῖον Εὐαγγέλιον. Ψαλλομένου τοῦ, **Ἤδη βάπτεται κάλαμος** ἀργῶς ὑπὸ τοῦ α' χοροῦ, ὁ Μ. ἀρχιδιάκονος ἐξέρχεται μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου καὶ ἔρχεται πρὸς τὸν πατριάρχην. Εὐλογηθεὶς δὲ παρ' αὐτοῦ, εἰσέρχεται εἰς τὸ ἱερὸν καὶ ἐξελθὼν διὰ τῆς βορείου πύλης, ἀνέρχεται εἰς τὸν ἄμβωνα καὶ μετὰ τὸ τέλος τοῦ ῥηθέντος ἰδιομέλου ἀναγινώσκει τὸ ιβ' Εὐαγγέλιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

διὸ καὶ τὸ στῆθος τύπτουσα, ἀνέκραζε γοερῶς· Οἴμοι, θεῖον τέκνον! Οἴμοι, τὸ φῶς τοῦ κόσμου! Τί ἔδυς ἐξ ὀφθαλμῶν μου ὁ ἀμνὸς τοῦ Θεοῦ; Ὅθεν αἱ στρατιαὶ τῶν Ἀσωμάτων, τρόμῳ συνείχοντο, λέγουσαι· ἀκατάληπτε Κύριε, δόξα σοι.

Στίχος. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον, Χριστέ, σὲ τὸν πάντων κτίστην καὶ Θεόν, ἡ σὲ ἀσπόρως τεκοῦσα ἐβόα πικρῶς· Υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; Οὐ φέρω καθορᾷν σε ἀδίκως σταυρούμενον· σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Δόξα. Ἦχος πλ. δ'.

Κύριε, ἀναβαίνοντός σου ἐν τῷ Σταυρῷ, φόβος καὶ τρόμος ἐπέπεσε τῇ κτίσει· καὶ τὴν γῆν μὲν ἐκώλυες καταπιεῖν τοὺς σταυροῦντάς σε, τῷ δὲ Ἅδῃ ἐπέτρεπες ἀναπέμπειν τοὺς δεσμίους, εἰς ἀναγέννησιν βροτῶν. Κριτὰ ζώντων καὶ νεκρῶν, ζωὴν ἦλθες παρασχεῖν καὶ οὐ θάνατον. Φιλάνθρωπε, δόξα σοι.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ἤδη βάπτεται κάλαμος ἀποφάσεως παρὰ κριτῶν ἀδίκων, καὶ Ἰησοῦς δικάζεται καὶ κατακρίνεται Σταυρῷ· καὶ πάσχει ἡ κτίσις, ἐν Σταυρῷ καθορῶσα τὸν Κύριον. Ἀλλ' ὁ φύσει σώματος δι' ἐμὲ πάσχων, ἀγαθὲ Κύριε, δόξα σοι.

Μετ' αὐτὸ εὐθὺς ἀναγινώσκεται τὸ ιβ' εὐαγγέλιον.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΖ'. 62—66).

Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς Πιλᾶτον λέγοντες· κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσι τῷ λαῷ, ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη αὐτοῖς ὁ Πιλᾶτος· ἔχετε κουστωδίαν· ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.

Εἰς τὸ τέλος τοῦ Εὐαγγελίου ὁ α' χορός, **Δόξα σοι, Κύριε, δόξα σοι.** Χοροστατοῦντος δὲ ἀρχιερέως, ὁ δεξιὸς χορὸς ψάλλει ἀργῶς, **Εἰς πολλὰ ἔτη, δέσποτα.**

Εἶτα τό, **Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι**, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ'.

**Ἐ**ξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα σοι· (ἐκ τρίτου).

Ἐκτενής· **Ἐλέησον ἡμᾶς ὁ Θεός.**

**Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.**

**Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν.**

Ἐκφώνησις· **Ὅτι ἐλεήμων.**

**Σοφία.** Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν. Στερεῶσαι Κύριος ὁ Θεός, ὑπὸ τοῦ προεστῶτος.

Ὁ ἱερεὺς ποιεῖ ἀπόλυσιν· **Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι· ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ Σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τὴν τοῦ κόσμου σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις κτλ.**

**Δι' εὐχῶν.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ

## ΕΝ ΤΑΙΣ ΜΕΓΑΛΑΙΣ ΩΡΑΙΣ

Περὶ τὴν πρώτην πρωϊνὴν ὥραν, εὐλογήσαντος τοῦ ἱερέως (*), ὁ προεστὼς τὸ Βασιλεῦ οὐράνιε. Ὁ ἀναγνώστης τὸ Τρισάγιον. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν. Ὁ ἀναγνώστης· Κύριε ἐλέησον ιβ'. Δόξα καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ' καὶ ἀναγινώσκει τοὺς ἑπομένους ψαλμούς.

## ΩΡΑ ΠΡΩΤΗ

### ΨΑΛΜΟΣ 5.

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου· ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε. Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. Τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με· ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτοὺς ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ σημαίνει τὴν ἡμίσειαν πρωϊνὴν ὥραν καὶ ὁ πατριάρχης κατέρχεται εἰς τὸν ναὸν τὴν πρώτην ὥραν. Λαβὼν δὲ καιρὸν ὁ Μ. ἀρχιμανδρίτης ἄνευ διακόνου ποιεῖ εὐλογητόν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τῶν διαβουλιῶν αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον. Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

## ΨΑΛΜΟΣ 2.

Ἱνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος, τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Καὶ νῦν, βασιλεῖς, σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας, μή ποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

## ΨΑΛΜΟΣ 21.

Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μάτων μου. Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ Κύριον, ρυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας. Ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ· μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. Ὡσεὶ ὕδωρ ἐξεχύθη, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου· ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. Ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖρας μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Σὺ δὲ, Κύριε, μὴ μακρύνης τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, εἰς τὴν ἀντίληψίν μου πρόσχες. Ρῦσαι ἀπὸ ρομφαίας τὴν ψυχήν μου καὶ ἐκ χειρὸς κυνὸς τὸν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκεράτων τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν· φοβηθήτω δὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ. Ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ· καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν, εἰσήκουσέ μου. Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι· τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων σε. Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς. Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς· ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἀρχομένη, καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'.

Δόξα. Τροπάριον. Ἦχος α'.

Σταυρωθέντος σου, Χριστὲ, ἀνῃρέθη ἡ τυραννὶς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς· δόξα σοι.

Δόξα καὶ νῦν. Θεοτόκιον.

Τί σε καλέσωμεν, ὦ κεχαριτωμένη; Οὐρανόν; ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης. Παράδεισον; ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον; ὅτι ἔμεινας ἄφθορος. Ἁγνὴν μητέρα; ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱὸν τῶν πάντων Θεόν· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα ἄρχεται ὁ α' χορὸς ψάλλειν τὸ α' ἰδιόμελον ἄνευ στίχου. Ὁ β' τὸ δεύτερον μετὰ τοῦ στίχου, Ἵνα τί ἐφρύαξαν, καὶ αὖθις ὁ α' τὸ τρίτον εἰς τὸ **Δόξα καὶ νῦν.**

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἦχος πλ. δ'.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ρήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, Δεσπότην ὁρῶν σταυρούμενον.

Στίχος. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης, Χριστὲ βασιλεῦ, καὶ ὡς ἀμνὸς ἄκακος, προσηλωθεὶς τῷ Σταυρῷ ὑπὸ τῶν παρανόμων ἀνδρῶν διὰ τὰς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Στίχος. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.

Δόξα καὶ νῦν. (*)

Τοῖς συλλαβοῦσί σε παρανόμοις ἀνεχόμενος οὕτως ἐβόας, Κύριε· εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα, τοὺς μαθητάς μου, ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλων· ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου, ἄδηλα καὶ κρύφια. Κύριε, δόξα σοι.

Εἶτα ἡ προφητεία.

Προκείμενον ἦχος δ'. Ψαλμ. 40.

Ἐξεπορεύετο ἔξω καὶ ἐλάλησεν ἐπὶ τὸ αὐτὸ κατ᾽ ἐμοῦ· ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ᾽ ἐμοῦ ἐλογίζοντο κακά μοι.

Στίχος. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

(*) Εἰς τὸ δοξαστικὸν τοῦτο ὁ Μέγας πρωτοσύγκελλος λαμβάνει καιρὸν παρὰ τοῦ πατριάρχου μετὰ τοῦ Μ. ἀρχιδιακόνου καὶ ἀναγινώσκει τὸ Εὐαγγέλιον τῆς Α' Ὥρας. Ὁ δὲ Μ. ἀρχιδιάκονος, ἀρχομένων τῶν τροπαρίων τῆς Γ' Ὥρας, θυμιᾷ διὰ κατζίου, ἐνδεδυμένος τὸν συνήθη μανδύαν. Εἰς τὰς ἐφεξῆς δὲ Ὥρας, ἤτοι ΣΤ' καὶ Θ', τὸν αὐτὸν μανδύαν φοροῦσι καὶ ὁ δευτερεύων καὶ ὁ τριτεύων, διὰ κατζίου θυμιῶντες.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα.
(Κεφ. ΙΑ'. 10).

Τάδε λέγει Κύριος· λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴ διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς· καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ γνώσονται οἱ χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενα μοι, διότι λόγος Κυρίου ἐστί. Καὶ ἐρῶ πρὸς αὐτούς· εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστὶ, δότε τὸν μισθόν μου ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου, τριάκοντα ἀργυροῦς. Καὶ εἶπε Κύριος πρός με· κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου, εἰς τὸ χωνευτήριον, καθὰ συνέταξέ μοι Κύριος.

**Ὁ Ἀπόστολος.**

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.
(Κεφ. ΣΤ'. 14).

Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ Σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.

**Εὐαγγέλιον.**

**Σοφία ὀρθοὶ** κτλ.

**ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ**
(ΚΕΦ. ΚΖ'. 1—56).

Τῷ καιρῷ ἐκείνῳ, πρωΐας γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ρίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ρηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος». Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορῆσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλᾶτος· οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ρῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἔφη· τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελώσας παρέδωκεν ἵνα σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην: «Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν ἰουδαίων». Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ φαρισαίων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτῷ· πέποιθεν ἐπὶ τὸν Θεόν, ρυσάσθω

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· «ἠλὶ ἠλί, λιμᾶ σαβαχθανί;» τοῦτ' ἔστι, «Θεέ μου Θεέ μου, ἱνατί με ἐγκατέλιπες;» τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ καὶ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

### Καὶ εὐθύς·

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Εἶτα τὸ Τρισάγιον καὶ τὸ ἑπόμενον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Κοντάκιον. Ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν· εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σελ. 89). Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ τὴν παροῦσαν εὐχὴν ἀναγινωσκομένην παρὰ τοῦ προεστῶτος·

Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ὅτι ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

---

## ΩΡΑ ΤΡΙΤΗ

Δεῦτε προσκυνήσωμεν γ'. Εἶτα τοὺς ἑπομένους ψαλμούς.

### ΨΑΛΜΟΣ 34.

Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ρομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με. Εἶπον τῇ ψυχῇ μου· σωτηρία σού εἰμι ἐγώ. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί με κακά. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Κυρίου καταδιώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, Κύριε, τίς ὅμοιός σοι; Ρυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δέ, ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον. Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται. Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως εὐηρέστουν· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. Καὶ κατ᾽ ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν· συνήχθησαν ἐπ᾽ ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων. Διεσχίσθησαν καὶ οὐ κατενύγησαν· ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε, πότε ἐπόψει; Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὸν μονογενῆ μου. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντές ὀφθαλμοῖς. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ᾽ ὀργὴν δόλους διελογίζοντο. Ἐπλάτυναν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν· εἶπον· εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς. Κύριε, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν· εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποιεν· κατεπίομεν αὐτόν. Αἰσχυν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

θείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου· καὶ εἰπάτωσαν διὰ παντός· μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

## ΨΑΛΜΟΣ 108.

Ο Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγους μίσους ἐκύκλωσάν με καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾷν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐτόν, ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν· ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Γενηθήτωσαν ἐναντίον Κυρίου διὰ παντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ, ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος· καὶ κατε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. Καὶ σὺ, Κύριε, Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ, Κύριε, ἐποίησας αὐτήν. Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις, οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

## ΨΑΛΜΟΣ 50 (σελ. 17).

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'.

Δόξα. Τροπάριον. Ἦχος πλ. β'.

Κύριε κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν ἁπάντων· οἱ τὴν Ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες, Σταυρῷ σε προσήλωσαν· καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

νεγκον· ἀλλ' ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ· Χριστὲ ὁ Θεός, δόξα σοι.

Καὶ νῦν. Θεοτόκιον.

Θεοτόκε, σὺ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· Σὲ ἱκετεύομεν, πρέσβευε, δέσποινα, μετὰ τῶν Ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα ψάλλομεν τὰ παρόντα ἰδιόμελα, τὸ πρῶτον ἄνευ στίχου, τὸ δεύτερον μετὰ τοῦ στίχου, Τὰ ῥήματά μου κτλ. καὶ τὸ τρίτον εἰς τό, Δόξα καὶ νῦν· ἄρχεται δὲ ὁ β' χορός.

Ἦχος πλ. δ'.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων ὁ φίλος σου καὶ ὁ πλησίον Πέτρος ἠρνήσατό σε, Κύριε, καὶ ὀδυρόμενος οὕτως ἐβόα· τῶν δακρύων μου μὴ παρασιωπήσῃς· εἶπα γὰρ φυλάξαι τὴν πίστιν, οἰκτίρμον, καὶ οὐκ ἐφύλαξα· καὶ ἡμῶν τὴν μετάνοιαν οὕτω δέξαι καὶ ἐλέησον ἡμᾶς.

Στίχος. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου.

Πρὸ τοῦ τιμίου σου Σταυροῦ, στρατιωτῶν ἐμπαιζόντων σε, Κύριε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο· ἀνεδήσω γὰρ στέφανον ὕβρεως, ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσι, καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας, ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα· τοιαύτῃ γὰρ οἰκονομίᾳ ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστέ, τὸ μέγα ἔλεος· δόξα σοι.

Δόξα καὶ νῦν. (*)

Ἑλκόμενος ἐπὶ Σταυροῦ, οὕτως ἐβόας, Κύριε· διὰ ποῖον ἔργον θέλετέ με σταυρῶσαι Ἰουδαῖοι; Ὅτι τοὺς παρα-

(*) Εἰς τὸ δοξαστικὸν τῆς γ' ὥρας ὁ ἀρχιγραμματεὺς λαμβάνει καιρὸν παρὰ τοῦ πατριάρχου μετὰ τοῦ δευτερεύοντος καὶ ἀναγινώσκει τὸ Εὐαγγέλιον τῆς Ὥρας ταύτης, ὁ δὲ δευτερεύων θυμιᾷ ἀρχομένων ψάλλεσθαι τῶν τροπαρίων τῆς ΣΤ' ὥρας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

λύτους ὑμῶν συνέσφιγξα; Ὅτι τοὺς νεκροὺς ὡς ἐξ ὕπνου ἀνέστησα; Αἱμόρρουν ἰασάμην, Χαναναίαν ἠλέησα. Διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι, ἰουδαῖοι; ἀλλ' ὄψεσθε εἰς ὃν νῦν ἐκκεντᾶτε Χριστόν, παράνομοι.

Εἶτα ἡ προφητεία.

Προκείμενον ἦχος δ'. Ψαλμ. 32.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Στίχος. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

(Κεφ. Ν'. 4).

Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. Ἔθηκέ με πρωΐ, πρωΐ, προσέθηκέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα· ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ραπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος, Κύριος βοηθός μου ἐγενήθη. Διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν· καὶ ἔγνων, ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με. Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα καὶ τίς ὁ κρινόμενός με; ἐγγισάτω μοι. Ἰδοὺ Κύριος, Κύριος βοηθήσει μοι, τίς κακώσει με; Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. Οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ. Ἰδοὺ πάντες ὑμεῖς ὡς πῦρ καίετε καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν· ἐν λύπῃ κοιμηθήσεσθε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὁ Ἀπόστολος.

Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. Ε΄. 6).

Ἀδελφοί, ἔτι Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. Πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

Εὐαγγέλιον.

Σοφία ὀρθοὶ κτλ.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ

(ΚΕΦ. ΙΕ΄. 16—41).

Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ρούφου, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ. Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον Κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν διαμερίζονται τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἐπ' αὐτὰ τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ βασιλεὺς τῶν ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη». Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· οὐά, ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτὸν καὶ κατάβα ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης· καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἐλωΐ Ἐλωΐ, λιμᾶ σαβαχθανί; ὅ ἐστι μεθερμηνευόμενον, Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες; Καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον· ἴδε Ἠλίαν φωνεῖ. Δραμὼν δὲ εἷς καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν λέγων· ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν Θεοῦ. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη, αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

Καὶ εὐθύς·

Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ᾽ ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τὴν σωτηρίαν ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Καὶ τὸ κοντάκιον.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν· εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· καὶ τὴν παροῦσαν εὐχήν·

Δέσποτα Θεὲ, Πάτερ Παντοκράτωρ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία Δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΩΡΑ ΕΚΤΗ

Δεῦτε προσκυνήσωμεν γ'.

### ΨΑΛΜΟΣ 53.

Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξελόθρευσον αὐτούς. Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν· ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω σε, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΨΑΛΜΟΣ 139.

Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι. Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτούς· ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς· ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν. Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

## ΨΑΛΜΟΣ 90.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ· ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ᾽ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'.

Δόξα. Τροπάριον. Ἦχος β'.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεός· ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη, κράζοντα· Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτόκιον.

Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Εἶτα ψάλλονται τὰ παρόντα ἰδιόμελα, τὸ μὲν πρῶτον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἄνευ στίχου, τὸ δὲ δεύτερον μετὰ τοῦ στίχου, Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ τὸ τρίτον εἰς τό, Δόξα καὶ νῦν.

Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς ἰουδαίοις· λαός μου, τί ἐποίησά σοι ἢ τί σοι παρηνώχλησα; Τοὺς τυφλούς σου ἐφώτισα, τοὺς λεπρούς σου ἐκαθάρισα, ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην. Λαός μου, τί ἐποίησά σοι καὶ τί μοι ἀνταπέδωκας; Ἀντὶ τοῦ μάννα χολήν, ἀντὶ τοῦ ὕδατος ὄξος, ἀντὶ τοῦ ἀγαπᾷν με, Σταυρῷ με προσηλώσατε. Οὐκέτι στέγω λοιπόν· καλέσω μου τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν τὴν αἰώνιον.

Στίχος. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Οἱ νομοθέται τοῦ Ἰσραήλ, ἰουδαῖοι καὶ φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων βοᾷ πρὸς ὑμᾶς· ἴδε ναός, ὃν ὑμεῖς ἐλύσατε, ἴδε ἀμνός, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη. Μὴ πλανᾶσθε, ἰουδαῖοι· αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς καὶ ἡ εἰρήνη τοῦ κόσμου.

Δόξα καὶ νῦν. Ἦχος πλ. α'.

Δεῦτε, χριστοφόροι λαοί, κατίδωμεν τί συνεβουλεύσατο Ἰούδας ὁ προδότης, σὺν ἱερεῦσιν ἀνόμοις, κατὰ τοῦ Σωτῆρος ἡμῶν· σήμερον ἔνοχον θανάτου τὸν ἀθάνατον Λόγον πεποίηκαν, καὶ Πιλάτῳ προδώσαντες, ἐν τόπῳ Κρανίου ἐσταύρωσαν· καὶ ταῦτα πάσχων, ἐβόα ὁ Σωτὴρ ἡμῶν λέγων· ἄφες αὐτοῖς, Πάτερ, τὴν ἁμαρτίαν ταύτην, ὅπως γνῶσι τὰ ἔθνη τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν. (*)

(*) Εἰς τὸ δοξαστικὸν τῆς ΣΤ' Ὥρας λαβόντες καιρὸν παρὰ τοῦ πατριάρχου ὁ Μ. ἀρχιμανδρίτης καὶ ὁ τριτεύων, ὁ μὲν ἀναγινώσκει τὸ Εὐαγγέλιον τῆς ὥρας ταύτης, ὁ δὲ τριτεύων θυμιᾷ, ἀρχομένων ψάλλεσθαι τῶν τροπαρίων τῆς Θ' ὥρας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προκείμενον, ἦχος δ'. Ψαλμ. 8.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Στίχος. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΝΒ' 13).

Τάδε λέγει Κύριος· ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται σφόδρα. Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων. Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν, ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ ὑπὸ τοῦ Θεοῦ καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. Καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι, οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ βούλεται Κύριος καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς. Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ἡμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει· δικαιῶσαι δίκαιον, εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη. Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

## Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. Β'. 11).

Ἀδελφοὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε»· καὶ πάλιν· «Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ»· καὶ πάλιν· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός». Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ «σπέρματος Ἀβραὰμ» ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς «ἀδελφοῖς» ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## Εὐαγγέλιον.

Σοφία ὀρθοὶ κτλ.

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ
(ΚΕΦ. ΚΓ' 32—49).

Τῷ καιρῷ ἐκείνῳ ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλλον κλῆρον. Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν· ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ καὶ λέγοντες· εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ρωμαϊκοῖς καὶ ἑβραϊκοῖς· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν ἰουδαίων. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λεγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου ἐκλείποντος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασε τὸν Θεὸν λέγων· ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον. Εἱστήκεισαν δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πάντες οἱ γνωστοὶ αὐτοῦ ἀπὸ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Καὶ εὐθύς·

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου· Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι.

Καὶ τὸ κοντάκιον.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν· εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· καὶ τὴν εὐχὴν ταύτην·

Θεὲ καὶ Κύριε τῶν δυνάμεων καὶ πάσης κτίσεως δημιουργὲ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, καὶ διὰ τοῦ τιμίου Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους· αὐτὸς, Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας καὶ ἱκετηρίους ἐντεύξεις· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος, καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς· ἵνα, πρὸς σὲ διὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

παντὸς ἀτενίζοντες καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρὶ σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΩΡΑ ΕΝΝΑΤΗ

Δεῦτε προσκυνήσωμεν γ'.

### ΨΑΛΜΟΣ 68.

Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον. Ὁ Θεὸς, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων. Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ· ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε, καιρὸς εὐδοκίας· ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ρυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν· ἕνεκα τῶν ἐχθρῶν μου ρῦσαί με. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με· ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν τῇ δικαιοσύνῃ σου. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μοι. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐκζητήσατε τὸν Θεὸν καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν καὶ οἰκοδομηθήσονται αἱ πύλαι τῆς Ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν. Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

## ΨΑΛΜΟΣ 69.

Ο Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι· εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός· καὶ λεγέτωσαν διὰ παντός· μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε· μὴ χρονίσῃς.

## ΨΑΛΜΟΣ 85.

Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος. Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ Θεὸς, παράνομοι, ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με· καὶ αὖθις.

Ποίησον μετ' ἐμοῦ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'.

Δόξα. Τροπάριον. Ἦχος πλ. δ'.

Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν. Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς, ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο. Ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Καὶ νῦν. Θεοτόκιον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου καὶ σταύρωσιν ὑπομείνας, ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας καὶ ἔγερσιν δείξας, ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Εἶτα ψάλλομεν τὰ παρόντα τροπάρια, τὸ πρῶτον ἄνευ στίχου, τὸ δεύτερον μετὰ τοῦ στίχου, Διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ τὸ τρίτον εἰς τὸ, Δόξα καὶ νῦν, ἀρχομένου τοῦ Β' χοροῦ. Ἦχος βαρύς.

Θάμβος ἦν κατιδεῖν τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν ἐπὶ Σταυροῦ κρεμάμενον ἥλιον σκοτισθέντα, τὴν ἡμέραν δὲ πάλιν εἰς νύκτα μετελθοῦσαν, καὶ τὴν γῆν ἐκ τάφων ἀναπέμπουσαν σώματα νεκρῶν· μεθ' ὧν προσκυνοῦμέν σε· σῶσον ἡμᾶς.

Στίχος. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Ἦχος β'.

Ὅτε σὲ Σταυρῷ προσήλωσαν παράνομοι, τὸν Κύριον τῆς δόξης, ἐβόας πρὸς αὐτούς· Τί ὑμᾶς ἐλύπησα; ἢ ἐν τίνι παρώργισα; πρὸ ἐμοῦ τίς ὑμᾶς ἐρρύσατο ἐκ θλίψεως; καὶ νῦν τί μοι ἀνταποδίδοτε; πονηρὰ ἀντὶ ἀγαθῶν· ἀντὶ στύλου πυρὸς, Σταυρῷ με προσηλώσατε· ἀντὶ νεφέλης, τάφον μοι ὠρύξατε· ἀντὶ τοῦ μάννα, χολήν μοι προσηνέγκατε· ἀντὶ τοῦ ὕδατος, ὄξος με ἐποτίσατε. Λοιπὸν καλῶ τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι.

Τὸ τέλος, Σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι, λαμβάνει ὁ Β' χορὸς, ὁ δὲ Α' ἄρχεται

Δόξα Πατρὶ κτλ.

Ὁ Β' Καὶ νῦν καὶ ἀεὶ κτλ.

Καὶ ὁ κανονάρχης ἐρχόμενος εἰς τὸ μέσον τοῦ ναοῦ, ἀναγινώσκει κατὰ τὸ ὕφος τοῦ Ἀποστόλου τὸ παρὸν στιχηρόν.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας (ἐκ τρίτου). Στέφανον ἐξ ἀκανθῶν περιτίθεται ὁ τῶν ἀγ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

γέλων βασιλεύς. Ψευδῆ πορφύραν περιβάλλεται ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. Ράπισμα κατεδέξατο ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ. Ἥλοις προσηλώθη ὁ νυμφίος τῆς Ἐκκλησίας. Λόγχῃ ἐκεντήθη ὁ υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὰ πάθη, Χριστὲ (ἐκ τρίτου). Δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Εἶτα ψάλλεται τὸ αὐτὸ στιχηρὸν ὑπ᾽ ἀμφοτέρων τῶν χορῶν κατὰ στίχον εἰς τὸν ἦχον αὐτοῦ. (*)

Προκείμενον ἦχος πλ. β'. Ψαλμ. 23.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός.

Στίχος. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα. (Κεφ. ΙΑ' 18).

Κύριε, γνώρισόν μοι καὶ γνώσομαι. Τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν· ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον, ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων. Ἐπ᾽ ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρόν, λέγοντες· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι. Κύριε τῶν Δυνάμεων, κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου. Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθώθ, τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας· οὐ μὴ προφητεύσῃς ἐπὶ τῷ ὀνόματι Κυρίου, εἰ δὲ μὴ ἀποθανεῖ ἐν ταῖς χερσὶν ἡμῶν. Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ᾽ αὐτούς· οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ· καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν, ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθώθ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν. Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦ-

(*) Ψαλλομένου τοῦ στιχηροῦ τούτου, ὁ Μ. σύγκελλος λαμβάνει καιρὸν παρὰ τοῦ πατριάρχου ἄνευ διακόνου καὶ ἀναγινώσκει τὸ Εὐαγγέλιον τῆς Θ' Ὥρας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ται; Εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; Ἐφύτευσας αὐτοὺς καὶ ἐρριζώθησαν· ἐτεκνοποιήσαντο, καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἐπὶ τῶν νεφρῶν αὐτῶν. Καὶ σύ, Κύριε, γινώσκεις με, οἶδάς με, καὶ δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἄθροισον αὐτοὺς ὥσπερ πρόβατα εἰς σφαγήν· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν. Ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; Ἠφανίσθησαν καὶ πετεινά, ὅτι εἶπον· οὐκ ὄψεται ὁ Θεὸς ὁδοὺς ἡμῶν· σοῦ οἱ πόδες τρέχουσι καὶ ἐκλύουσί σε. Συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον, ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας. Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου τῷ Ἰσραήλ. Ἰδοὺ ἐγὼ ἀνασπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν· καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτούς, ἐπιστρέψω καὶ ἐλεήσω αὐτοὺς καὶ κατοικιῶ αὐτούς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ.

### Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. Ι΄. 19).

Ἀδελφοί, ἔχοντες παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι τοῦ Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ. Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος· καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. Ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν «ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει»· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας; Οἴδαμεν γὰρ τὸν εἰπόντα· «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος»· καὶ πάλιν· «Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ». Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

## Εὐαγγέλιον.

**Σοφία, ὀρθοὶ κτλ.**

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ
(ΚΕΦ. ΙΘ΄. 23—37).

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. Εἱστήκεσαν δὲ παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· γύναι, ἴδε ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ· ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει· διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ πλήσαντες σπόγγον ὄξους

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς εἶπε, τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ «ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ». Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· «ὄψονται εἰς ὃν ἐξεκέντησαν».

Καὶ εὐθύς·

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τὸ τρισάγιον καὶ τὸ κοντάκιον

Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν· εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Κύριε ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ΄. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς κτλ. καὶ τὴν ἑπομένην εὐχήν·

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι καὶ ἄχρι τῆς παρούσης

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ, ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ εὐγνώμονι λῃστῇ τὴν εἰς τὸν παράδεισον ὡδοποίησας εἴσοδον καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου· ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα. Φεῖσαι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρός, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα, καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα· ἵνα, τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα, καὶ σοὶ ζήσωμεν τῷ ἡμετέρῳ δεσπότῃ καὶ κηδεμόνι· καὶ οὕτω, τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ μικρὰ ἀπόλυσις. Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι· ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ σταυρὸν καὶ θάνατον ὑπομείνας, διὰ τὴν τοῦ κόσμου σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου κτλ.

Δι' εὐχῶν.

---

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ
### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὴν ἀπόλυσιν τῶν μεγάλων Ὡρῶν, ἀμέσως ἄρχεται ὁ Ἑσπερινός, ἐν ᾧ, εὐλογήσαντος τοῦ ἱερέως, μετὰ τὸν προοιμιακὸν καὶ τὴν μεγάλην συναπτήν, εἰς τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν εἰς ϛ' τὰ παρόντα πέντε ἰδιόμελα, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α'.

Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ, θεωροῦσά σε ἐν Σταυρῷ κρεμάμενον, Χριστέ· ὁ ἥλιος ἐσκοτίζετο καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον τῷ τὰ πάντα κτίσαντι. Ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε, δόξα σοι. (Δίς)·

Ἦχος β'.

Λαὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; Ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε; Μέγα θαῦμα! ὅτι ὁ κτίστης τοῦ κόσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν ᾅδῃ δεσμώτας ἐλευθερώσῃ, κράζοντας· μακρόθυμε, Κύριε, δόξα σοι.

Ἦχος ὁ αὐτός.

Σήμερόν σε θεωροῦσα ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ, Λόγε, ἀναρτώμενον, ὀδυρομένη μητρῷα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς· καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, παρειὰς σὺν θριξὶ καταξαίνουσα, κατετρύχετο· διὸ καὶ τὸ στῆθος τύπτουσα, ἀνέκραζε γοερῶς· Οἴμοι, θεῖον τέκνον! Οἴμοι, τὸ φῶς τοῦ κόσμου! Τί ἔδυς ἐξ ὀφθαλμῶν μου ὁ ἀμνὸς τοῦ Θεοῦ; Ὅθεν αἱ στρατιαὶ τῶν Ἀσωμάτων τρόμῳ συνείχοντο, λέγουσαι· ἀκατάληπτε Κύριε, δόξα σοι.

Ἦχος ὁ αὐτός.

Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον, Χριστέ, σὲ τὸν πάντων κτίστην καὶ Θεόν, ἡ σὲ ἀσπόρως τεκοῦσα ἐβόα πικρῶς·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; Οὐ φέρω καθορᾶν σε ἀδίκως σταυρούμενον· σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Ἦχος πλ. β'.

Σήμερον ὁ δεσπότης τῆς κτίσεως παρίσταται Πιλάτῳ, καὶ Σταυρῷ παραδίδοται ὁ κτίστης τῶν ἁπάντων, ὡς ἀμνὸς προσαγόμενος τῇ ἰδίᾳ βουλήσει· τοῖς ἥλοις προσπήγνυται καὶ τὴν πλευρὰν κεντᾶται, καὶ τῷ σπόγγῳ προσψαύεται ὁ μάννα ἐπομβρήσας· τὰς σιαγόνας ῥαπίζεται ὁ λυτρωτὴς τοῦ κόσμου, καὶ ὑπὸ τῶν ἰδίων δούλων ἐμπαίζεται ὁ πλάστης τῶν ἁπάντων. Ὢ δεσπότου φιλανθρωπίας! ὑπὲρ τῶν σταυρούντων παρεκάλει τὸν ἴδιον Πατέρα, λέγων· ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν οἱ ἄνομοι τί ἀδίκως πράττουσι.

Δόξα. Ἦχος πλ. β'.

Ὢ πῶς ἡ παράνομος συναγωγὴ τὸν βασιλέα τῆς κτίσεως κατεδίκασε θανάτῳ, μὴ αἰδεσθεῖσα τὰς εὐεργεσίας, ἃς ἀναμιμνήσκων, προησφαλίζετο λέγων πρὸς αὐτούς· λαός μου, τί ἐποίησα ὑμῖν; οὐ θαυμάτων ἐνέπλησα τὴν Ἰουδαίαν; οὐ νεκροὺς ἐξανέστησα μόνῳ τῷ λόγῳ; οὐ πᾶσαν μαλακίαν ἐθεράπευσα καὶ νόσον; τί οὖν μοι ἀνταποδίδετε; εἰς τί ἀμνημονεῖτέ μου; ἀντὶ τῶν ἰαμάτων, πληγάς μοι ἐπιθέντες· ἀντὶ ζωῆς, νεκροῦντες· κρεμῶντες ἐπὶ ξύλου, ὡς κακοῦργον, τὸν εὐεργέτην· ὡς παράνομον, τὸν νομοδότην· ὡς κατάκριτον, τὸν πάντων βασιλέα. Μακρόθυμε Κύριε, δόξα σοι.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Φοβερὸν καὶ παράδοξον μυστήριον σήμερον ἐνεργούμενον καθορᾶται· ὁ ἀναφὴς κρατεῖται, δεσμεῖται ὁ λύων τὸν Ἀδὰμ τῆς κατάρας· ὁ ἐτάζων καρδίας καὶ νεφροὺς ἀδίκως ἐτάζεται· εἱρκτῇ κατακλείεται ὁ τὴν ἄβυσσον κλείσας· Πιλάτῳ παρίσταται ᾧ τρόμῳ παρίστανται οὐρανῶν αἱ δυνάμεις· ῥαπί-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ζεται χειρὶ τοῦ πλάσματος ὁ πλάστης· ξύλῳ κατακρίνεται ὁ κρίνων ζῶντας καὶ νεκρούς· τάφῳ κατακλείεται ὁ καθαιρέτης τοῦ ᾅδου· ὁ πάντα φέρων συμπαθῶς καὶ πάντας σώσας τῆς ἀρᾶς, ἀνεξίκακε Κύριε, δόξα σοι.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου· τὸ Φῶς ἱλαρὸν, καὶ εὐθὺς τὰ ἀναγνώσματα.

Προκείμενον ἦχος δ'. Ψαλμὸς 21.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Στίχος. Ὁ Θεὸς, ὁ Θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα. (Κεφ. ΛΓ' 11).

Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσοι πρὸς ἑαυτοῦ φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν· ὁ δὲ θεράπων Ἰησοῦς, υἱὸς Ναυῆ νέος, οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον· Ἰδοὺ σὺ μοὶ λέγεις· ἀνάγαγε τὸν λαὸν τοῦτον· σὺ δὲ οὐκ ἐδήλωσάς μοι ὃν συναποστελεῖς μετ' ἐμοῦ. Σὺ δέ μοι εἶπας· οἶδά σε παρὰ πάντας καὶ χάριν ἔχεις παρ' ἐμοί. Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς, ἵνα ἴδω σε, ὅπως ᾧ εὑρηκὼς χάριν ἐναντίον σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο. Καὶ λέγει· Αὐτὸς προπορεύσομαί σου καὶ καταπαύσω σε. Καὶ εἶπε πρὸς αὐτόν. Εἰ μὴ σὺ αὐτὸς συμπορεύσῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν. Καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοί, ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ' ἢ συμπορευσομένου σου μεθ' ἡμῶν; Καὶ ἐνδοξασθησόμεθα ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστιν. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· καὶ τοῦτόν σοι τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ καὶ οἶδά σε παρὰ πάντας. Καὶ λέγει· δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. Καὶ εἶπεν· ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου καὶ καλέσω τῷ ὀνόματί μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Κύριος ἐναντίον σου· καὶ ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω. Καὶ εἶπεν· οὐ δυνήσει ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται. Καὶ εἶπε Κύριος· ἰδοὺ τόπος παρ' ἐμοί, καὶ στῆθι ἐπὶ τῆς πέτρας. Ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας, καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω· καὶ ἀφελῶ τὴν χεῖρά μου, καὶ τότε ὄψει τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

Προκείμενον ἦχος δ'. Ψαλμὸς 34.

Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

Στίχος. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

Ἰὼβ τὸ ἀνάγνωσμα. (Κεφ. ΜΒ' 12).

Ηὐλόγησε Κύριος τὰ ἔσχατα τοῦ Ἰὼβ μᾶλλον ἢ τὰ ἔμπροσθεν· ἦν δὲ τὰ κτήνη αὐτοῦ, πρόβατα μύρια τετρακισχίλια, κάμηλοι ἑξακισχίλιαι, ζεύγη βοῶν χίλια, ὄνοι θήλειαι νομάδες χίλιαι. Γεννῶνται δ' αὐτῷ υἱοὶ ἑπτά, καὶ θυγατέρες τρεῖς. Καὶ ἐκάλεσε τὴν μὲν πρώτην Ἡμέραν· τὴν δὲ δευτέραν Κασσίαν· τὴν δὲ τρίτην Ἀμαλθείας κέρας. Καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ὑπὸ τὴν ὑπ' οὐρανόν· ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς. Ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα, τὰ δὲ πάντα ἔτη ἔζησε διακόσια τεσσαράκοντα. Καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν· καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν. Γέγραπται δὲ, αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν. Οὗτος ἑρμηνεύεται ἐκ τῆς συριακῆς βίβλου, ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας, προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ· λαβὼν δὲ γυναῖκα Ἀράβισσαν, γεννᾷ υἱόν, ᾧ ὄνομα Ἐνών. Ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲ, ἐκ τῶν Ἠσαῦ υἱῶν υἱός, μητρὸς δὲ Βοσσόρας, ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. (Κεφ. ΝΒ' 13).

Τάδε λέγει Κύριος· ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται σφόδρα. Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων. Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν, ὡς παιδίον ἐναντίον αὐτοῦ· ὡς ῥίζα ἐν γῇ διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπτε τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ ὑπὸ Θεοῦ καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. Καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι, οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ βούλεται Κύριος καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς. Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ἡμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει· δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

**Ὁ Ἀπόστολος.**

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. Α'. 18).

Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστί. Γέγραπται γάρ· «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω». Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, ἰουδαίοις μὲν σκάνδαλον, ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς, ἰουδαίοις τε καὶ ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα καταισχύνῃ τὰ ἰσχυρά, καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυχήσεται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ. Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τρωσις, ἵνα, καθὼς γέγραπται, «Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω». Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

Ἀλληλούϊα. Ἦχος πλ. α'. Ψαλμ. 68.

Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

Στίχος. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Στίχος. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.

Εὐαγγέλιον.

Σοφία ὀρθοὶ κτλ.

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΖ'. 1—38. Λουκ. ΚΓ'. 39—43. Ματθ. ΚΖ'. 39—54. Ἰωάν. ΙΘ'. 31—37. Ματθ. ΚΖ'. 55—61).

Τῷ καιρῷ ἐκείνῳ, πρωΐας γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος». Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλᾶτος· οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην: «Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν ἰουδαίων». Τότε σταυροῦνται σὺν αὐτῷ δύο λησταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ φαρισαίων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτῷ· πέποιθεν ἐπὶ τὸν Θεόν, ρυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λησταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· «ἠλὶ ἠλί, λιμᾶ σαβαχθανί;» τοῦτ' ἔστι, «Θεέ μου Θεέ μου, ἱνατί με ἐγκατέλιπες;»

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος. Οἱ οὖν ἰουδαῖοι ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ, «Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ». Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν». Ἦσαν δὲ ἐκεῖ καὶ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ· οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

Εἶτα ἡ συνήθης ἐκτενής, τὸ **Καταξίωσον,** καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομεν ἀπόστιχα τὰ παρόντα στιχηρὰ αὐτόμελα, ὁπότε γίνεται ἡ ἔξοδος τοῦ Ἐπιταφίου(*) ἄρχεται δὲ ὁ β' χορός. Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν ὁ Ἀριμαθαίας καθεῖλε τὴν τῶν ἁπάντων ζωήν, σμύρνῃ καὶ σινδόνι σε, Χριστέ, ἐκήδευσε· καὶ τῷ πόθῳ ἠπείγετο, καρδίᾳ καὶ χείλει, σῶμα τὸ ἀκήρατόν σου περιπτύξασθαι· ὅμως συστελλόμενος φόβῳ, χαίρων ἀνεβόα σοι· Δόξα τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Στίχος. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.

Ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ ὑπὲρ τοῦ παντὸς κατετέθης ὁ Λυτρωτὴς τοῦ παντός, ᾅδης ὁ παγγέλαστος ἰδών σε

(*) Κατὰ τὴν ἔξοδον τοῦ Ἐπιταφίου ἐν τῇ Μ. Ἐκκκησίᾳ οἱ χοροὶ ἔρχονται πρὸς τὴν βορείαν πύλην τοῦ ἁγίου βήματος καὶ ἄρχονται ψάλλοντες ἀργῶς τὰ ἀπόστιχα, ἓξ δὲ ἱερεῖς ἀσκεπεῖς ἐνδεδυμένοι φελώνια μελανὰ καὶ αἴροντες μετ' εὐλαβείας ἐπὶ κεφαλῆς τὸν Ἐπιτάφιον, ἐξ ὧν ὁ Μ. ἀρχιμανδρίτης φέρει ἐν τῇ δεξιᾷ καὶ τὸ ἱερὸν Εὐαγγέλιον, ἐξέρχονται τοῦ ἱεροῦ βήματος, προπορευομένων τῶν λαμπάδων, τῶν ἑξαπτερύγων, τῶν ψαλτῶν, τοῦ πριμικηρίου μετὰ τοῦ διβαμβούλου καὶ τῶν διακόνων θυμιώντων, ἔρχονται εἰς τὸ μέσον τοῦ ναοῦ, ὅπου ἵσταται ηὐτρεπισμένον τὸ κουβούκλιον, καὶ οἱ μὲν χοροὶ τῶν ψαλτῶν ἵστανται κατὰ σειρὰν ψάλλοντες τὰ λοιπὰ τῶν ἀποστίχων, οἱ δὲ ἱερεῖς φέροντες ἐπὶ κεφαλῆς τὸν Ἐπιτάφιον, ποιοῦσι τρεῖς κύκλους περὶ τὸ κουβούκλιον, εἶτα τιθέασιν αὐτὸν ἐντὸς τοῦ κουβουκλίου, καὶ ὁ Μ. ἐκκλησιάρχης ραίνει δ' εὐόσμων ἀνθέων αὐτό, ὁ δὲ πατριάρχης κατερχόμενος τοῦ θρόνου προσέρχεται, ἀσπάζεται τὸ ἱερὸν Εὐαγγέλιον καὶ τὸν Ἐπιτάφιον, καὶ εὐλογήσας τὸν λαόν, τῶν χορῶν ψαλλόντων τὸ **Εἰς πολλὰ ἔτη,** ἀνέρχεται εἰς τὸν θρόνον· οἱ δὲ ἅγιοι ἀρχιερεῖς προσερχόμενοι ἀνὰ δύο ἀσπάζονται ἐπίσης καὶ ἔπειτα λαμβάνουσι παρὰ τοῦ πατριάρχου ἄνθη, ὡσαύτως καὶ πάντες οἱ ἐκκλησιαστικοὶ ὀφφικιάλοι.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσιά Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἔπτηξεν· οἱ μοχλοὶ συνετρίβησαν, ἐθλάσθησαν πύλαι, μνήματα ἠνοίχθησαν, νεκροὶ ἀνίσταντο· τότε ὁ Ἀδὰμ εὐχαρίστως, χαίρων ἀνεβόα σοι· Δόξα τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Στίχος. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὅτε ἐν τῷ τάφῳ σαρκικῶς θέλων συνεκλείσθης ὁ φύσει τῇ τῆς θεότητος μένων ἀπερίγραπτος καὶ ἀδιόριστος, τὰ θανάτου ἀπέκλεισας ταμεῖα, καὶ ᾅδου ἅπαντα ἐκένωσας, Χριστὲ, βασίλεια· τότε καὶ τὸ σάββατον τοῦτο, θείας εὐλογίας καὶ δόξης καὶ τῆς σῆς λαμπρότητος ἠξίωσας.

Στίχος. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Ὅτε αἱ δυνάμεις σε, Χριστὲ, πλάνον ὑπ᾽ ἀνόμων ἑώρων συκοφαντούμενον, ἔφριττον τὴν ἄφατον μακροθυμίαν σου, καὶ τὸν λίθον τοῦ μνήματος χερσὶ σφραγισθέντα, αἷς σου τὴν ἀκήρατον πλευρὰν ἐλόγχευσεν· ὅμως τῇ ἡμῶν σωτηρίᾳ χαίρουσαι, ἐβόων σοι· Δόξα τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Δόξα καὶ νῦν. Ἦχος πλ. α', ψαλλόμενον ὑπ᾽ ἀμφοτέρων τῶν χορῶν ἱσταμένων περὶ τὸ κουβούκλιον.

Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς, ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ, καὶ θεωρήσας νεκρὸν, γυμνὸν, ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβὼν, ὀδυρόμενος ἔλεγεν· οἴμοι, γλυκύτατε Ἰησοῦ· ὃν πρὸ μικροῦ ὁ ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διερρήγνυτο ναοῦ τὸ καταπέτασμα· ἀλλ᾽ ἰδοὺ νῦν βλέπω σε δι᾽ ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω, Θεέ μου; ἢ πῶς σινδόσιν εἱλήσω; ποίαις χερσὶ δὲ προσψαύσω τὸ σὸν ἀκήρατον σῶμα; ἢ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ, οἰκτίρμων; Μεγαλύνω τὰ πάθη σου· ὑμνολογῶ καὶ τὴν ταφήν σου, σὺν τῇ ἀναστάσει, κραυγάζων· Κύριε, δόξα σοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Μετὰ τό, Νῦν ἀπολύεις, τὸ Τρισάγιον. Εἶτα·

Ἀπολυτίκιον. Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας, ἀπέθετο.

Ἕτερον. Ἦχος ὁ αὐτός.

Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ Ἄγγελος, ἐβόα· τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Καὶ γίνεται ἀπόλυσις· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι· ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν Σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις κτλ.

Δι' εὐχῶν κτλ.

---

## ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ
### ΕΝ ΤΩ ΟΡΘΡΩ

Περὶ τὴν ἑβδόμην ὥραν τῆς νυκτὸς σημαίνει, καὶ ἀναγινώσκεται συνήθως ὁ Ἄμωμος καὶ τὰ τοῦ Ἑσπερινοῦ τοῦ Μ. Σαββάτου παραλειπόμενα ἀναγνώσματα, ἅτινά εἰσι τετυπωμένα ἐν τῷ Τριῳδίῳ. Εἰ δὲ ὁ ὄρθρος ψάλλεται τῇ πρώτῃ ὥρᾳ τῆς νυκτός, ἤτοι τὸ ἑσπέρας τῆς Παρασκευῆς, τότε ὁ Ἄμωμος καὶ τὰ ἀναγνώσματα ἀναγινώσκονται τὴν ἐπαύριον πρὸ τοῦ ἑσπερινοῦ.

Μετὰ τό, Εὐλογητὸς ὁ Θεός, τὸ Τρισάγιον· Σῶσον Κύριε κτλ. καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ Θεὸς Κύριος, τὰ παρόντα ἀπολυτίκια.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ νῦν.

Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ Ἄγγελος ἐβόα· τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως καὶ ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος. Εἶτα ψάλλομεν τὰ παρόντα καθίσματα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Σινδόνι καθαρᾷ καὶ ἀρώμασι θείοις, τὸ σῶμα τὸ σεπτόν, ἐξαιτήσας Πιλάτῳ, μυρίζει καὶ τίθησιν Ἰωσὴφ καινῷ μνήματι· ὅθεν ὄρθριαι αἱ μυροφόροι γυναῖκες ἀνεβόησαν· Δεῖξον ἡμῖν, ὡς προεῖπας, Χριστέ, τὴν ἀνάστασιν.

Δόξα.

Δεῖξον ἡμῖν, ὡς προεῖπας, Χριστέ, τὴν ἀνάστασιν.

Καὶ νῦν. Ἕτερον ὅμοιον.

Ἐξέστησαν χοροὶ τῶν Ἀγγέλων, ὁρῶντες τὸν ἐν τοῖς τοῦ Πατρὸς καθεζόμενον κόλποις πῶς τάφῳ κατατίθεται, ὡς νεκρὸς ὁ ἀθάνατος· ὃν τὰ τάγματα τὰ τῶν Ἀγγέλων κυκλοῦσι καὶ δοξάζουσι, σὺν τοῖς νεκροῖς ἐν τῷ ᾅδῃ, ὡς κτίστην καὶ Κύριον. (*)

(*) Ἤδη λαμβάνει καιρὸν ὁ Μ. ἀρχιδιάκονος μετὰ τῶν λοιπῶν διακόνων, ἐνδύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα τὸν Ν' (σελ. 17). Καὶ εὐθὺς ψάλλομεν τὸν ἑπόμενον Κανόνα, τοὺς εἱρμοὺς ἀνὰ δύο καὶ τὰ τροπάρια ἀνὰ τέσσαρα· καὶ πάλιν ἔσχατον ὡς καταβασίας τοὺς αὐτοὺς εἱρμούς.

Ὠδὴ Α'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

» Κύματι θαλάσσης τὸν κρύψαντα πάλαι διώκτην τύραν-
» νον, ὑπὸ γῆς ἔκρυψαν τῶν σεσωσμένων οἱ παῖδες· ἀλλ'
» ἡμεῖς ὡς αἱ νεάνιδες τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδό-
» ξασται».

Τροπάρια.

Κύριε Θεέ μου, ἐξόδιον ὕμνον καὶ ἐπιτάφιον ᾠδήν σοι ᾄσομαι, τῷ τῇ ταφῇ σου ζωῆς μοι τὰς εἰσόδους διανοίξαντι, καὶ θανάτῳ θάνατον καὶ ᾅδην θανατώσαντι.

Δόξα.

Ἄνω σε ἐν θρόνῳ καὶ κάτω ἐν τάφῳ τὰ ὑπερκόσμια καὶ ὑποχθόνια κατανοοῦντα, Σωτήρ μου, ἐδονεῖτο τῇ νεκρώσει σου. Ὑπὲρ νοῦν ὠράθης γὰρ νεκρὸς ζωαρχικώτατος.

Καὶ νῦν.

Ἵνα σου τῆς δόξης τὰ πάντα πληρώσῃς, καταπεφοίτηκας ἐν κατωτάτοις τῆς γῆς· ἀπὸ γάρ σου οὐκ ἐκρύβη ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ· καὶ ταφεὶς φθαρέντα με καινοποιεῖς, φιλάνθρωπε.

Καταβασία. Κύματι θαλάσσης.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

» Σὲ τὸν ἐπὶ ὑδάτων κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέ-
» τως, ἡ κτίσις κατιδοῦσα ἐν τῷ Κρανίῳ κρεμάμενον,
» θάμβει πολλῷ συνείχετο· Οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε,
» κραυγάζουσα».

---

ονται δὲ τὰς στολὰς αὐτῶν ἐντὸς τοῦ ἱεροῦ βήματος καὶ ἐξερχόμενοι ἵστανται πρὸ τοῦ πατριάρχου μετὰ δικηροτρικήρων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Τροπάρια.

Σύμβολα τῆς ταφῆς σου παρέδειξας, τὰς ὁράσεις πληθύνας· νῦν δὲ τὰ κρύφιά σου θεανδρικῶς διετράνωσας καὶ τοῖς ἐν ᾅδῃ, Δέσποτα· Οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε, κραυγάζουσιν.

Δόξα.

Ἥπλωσας τὰς παλάμας καὶ ἥνωσας τὰ τὸ πρὶν διεστῶτα, καταστολῇ δὲ, Σῶτερ, τῇ ἐν σινδόνι καὶ μνήματι πεπεδημένους ἔλυσας· Οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε, κραυγάζοντας.

Καὶ νῦν.

Μνήματι καὶ σφραγῖσιν, ἀχώρητε, συνεσχέθης βουλήσει· καὶ γὰρ τὴν δύναμίν σου ταῖς ἐνεργείαις ἐγνώρισας θεουργικῶς τοῖς μέλπουσιν· Οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε, φιλάνθρωπε.

Καταβασία. Σὲ τὸν ἐπὶ ὑδάτων.

Συναπτὴ μικρά. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Κάθισμα. Ἦχος α'· ἅπαξ.

Τὸν τάφον σου, Σωτὴρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ τοῦ ὀφθέντος Ἀγγέλου ἐγένοντο, κηρύττοντος γυναιξὶ τὴν ἀνάστασιν· σὲ δοξάζομεν τὸν τῆς φθορᾶς καθαιρέτην· σοὶ προσπίπτομεν τῷ ἀναστάντι ἐκ τάφου καὶ μόνῳ Θεῷ ἡμῶν.

Ὠδὴ Δ'. Ὁ Εἱρμός. (*)

» Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν προορῶν Ἀββακοὺμ,
» ἐξεστηκὼς ἐβόα· Σὺ δυναστῶν διέκοψας κράτος, ἀγαθὲ,
» ὁμιλῶν τοῖς ἐν ᾅδῃ, ὡς παντοδύναμος».

(*) Εἰς τὴν Δ' τοῦ κανόνος ᾠδὴν εἰσέρχεται ὁ πατριάρχης εἰς τὸ ἱερὸν βῆμα, ἔνθα οἱ ἅγιοι ἀρχιερεῖς καὶ οἱ ἱερεῖς λαμβάνουσι καιρὸν παρ' αὐτοῦ, καὶ ἐνδύεται μετὰ τῶν ἀρχιερέων, τοῦ πριμικηρίου ἱσταμένου μετὰ τοῦ διβαμβούλου πρὸ τῆς ὡραίας πύλης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Τροπάρια.

Εβδόμην σήμερον ἡγίασας, ἣν εὐλόγησας πρὶν, καταπαύσει τῶν ἔργων· παράγεις γὰρ τὰ σύμπαντα καὶ καινοποιεῖς, σαββατίζων, Σωτήρ μου, καὶ ἀνακτώμενος.

Δόξα.

Ρωμαλεότητι τοῦ κρείττονος ἐκνικήσαντός σου τῆς σαρκὸς ἡ ψυχή σου, διῄρηται σπαράττουσα, ἄμφω γὰρ δεσμοὺς τοῦ θανάτου καὶ ᾅδου, Λόγε, τῷ κράτει σου.

Καὶ νῦν.

Ο ᾅδης, Λόγε, συναντήσας σοι, ἐπικράνθη βροτὸν ὁρῶν τεθεωμένον, κατάστικτον τοῖς μώλωψι καὶ πανσθενουργόν· τῷ φρικτῷ τῆς μορφῆς δὲ διαπεφώνηκεν.

Καταβασία. Τὴν ἐν Σταυρῷ σου.

Ὠδὴ Ε΄. Ὁ Εἱρμός.

» Θεοφανείας σου, Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενο-
» μένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας
» ἐκραύγαζεν· Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν
» τοῖς μνημείοις, καὶ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται».

Τροπάρια.

Νεοποιεῖς τοὺς γηγενεῖς ὁ πλαστουργὸς, χοϊκὸς χρηματίσας, καὶ σινδὼν καὶ τάφος ὑπεμφαίνουσι τὸ συνόν σοι, Λόγε, μυστήριον· ὁ εὐσχήμων γὰρ βουλευτὴς τὴν τοῦ σὲ φύσαντος βουλὴν σχηματίζει, ἐν σοὶ μεγαλοπρεπῶς καινοποιοῦντός με.

Δόξα.

Διὰ θανάτου τὸ θνητὸν, διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις· ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα, ἀπαθανατίζων τὸ πρόσλημμα· ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ οἶδε, Δέσποτα, οὐδὲ ἡ ψυχή σου εἰς ᾅδου ξενοπρεπῶς ἐγκαταλέλειπται.

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ νῦν.

Ἐξ ἀλοχεύτου προελθὼν καὶ λογχευθεὶς τὴν πλευράν, πλαστουργέ μου, ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν, τὴν τῆς Εὔας, Ἀδὰμ γενόμενος, ἀφυπνώσας ὑπερφυῶς ὕπνον φυσίζωον, καὶ ζωὴν ἐγείρας ἐξ ὕπνου καὶ τῆς φθορᾶς, ὡς παντοδύναμος.

Καταβασία. Θεοφανείας σου, Χριστέ.

Ὠδὴ ΣΤ΄. Ὁ Εἱρμός.

» Συνεσχέθη, ἀλλ᾽ οὐ κατεσχέθη στέρνοις κητῴοις Ἰωνᾶς·
» σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ παθόντος καὶ ταφῇ δο-
» θέντος, ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ
» κουστωδίᾳ· Οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς
» ἐγκατελίπετε».

Τροπάρια.

Ἀνῃρέθης, ἀλλ᾽ οὐ διῃρέθης, Λόγε, ἧς μετέσχες σαρκός· εἰ γὰρ καὶ λέλυταί σου ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους, ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις, τῆς θεότητος καὶ τῆς σαρκός σου· ἐν ἀμφοτέροις γὰρ εἷς ὑπάρχεις Υἱὸς, Λόγος τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπος.

Δόξα.

Βροτοκτόνον, ἀλλ᾽ οὐ θεοκτόνον, ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ· εἰ γὰρ καὶ πέπονθέ σου τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία, ἀλλ᾽ ἡ θεότης ἀπαθὴς διέμεινε· τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν μετεστοιχείωσας, καὶ ἀφθάρτου ζωῆς ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.

Καὶ νῦν.

Βασιλεύει, ἀλλ᾽ οὐκ αἰωνίζει, ᾅδης τοῦ γένους τῶν βροτῶν· σὺ γὰρ τεθεὶς ἐν τάφῳ, κραταιὲ, ζωαρχικῇ παλάμῃ, τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας· καὶ ἐκήρυξας τοῖς ἀπ᾽ αἰῶνος ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ, Σῶτερ, γεγονὼς νεκρῶν πρωτότοκος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καταβασία. Συνεσχέθη, ἀλλ᾿ οὐ κατεσχέθη.

Συναπτὴ μικρά. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεύς.

Κοντάκιον. Ἦχος β'.

Τὴν ἄβυσσον ὁ κλείσας νεκρὸς ὁρᾶται, καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς, ὁ ἀθάνατος. Γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι· Τοῦτο Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας ἀναστήσεται τριήμερος.

Ὁ Οἶκος.

Ὁ συνέχων τὰ πάντα ἐπὶ Σταυροῦ ἀνυψώθη, καὶ θρηνεῖ πᾶσα ἡ κτίσις, τοῦτον βλέπουσα κρεμάμενον γυμνὸν ἐπὶ τοῦ ξύλου· ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε, καὶ τὸ φέγγος οἱ ἀστέρες ἀπεβάλοντο· ἡ γῆ δὲ σὺν πολλῷ τῷ φόβῳ συνεκλονεῖτο· ἡ θάλασσα ἔφυγε καὶ αἱ πέτραι διερρήγνυντο· μνημεῖα δὲ πολλὰ ἠνεῴχθησαν, καὶ σώματα ἠγέρθησαν ἁγίων ἀνδρῶν. Ἅδης κάτω στενάζει, καὶ ἰουδαῖοι σκέπτονται συκοφαντῆσαι Χριστοῦ τὴν ἀνάστασιν· τὰ δὲ γύναια κράζουσι· Τοῦτο Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας ἀναστήσεται τριήμερος.

Εἶτα τὸ Μηνολόγιον καὶ τὸ παρὸν ὑπόμνημα·

Τῷ ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ τὴν θεόσωμον ταφὴν καὶ τὴν εἰς ᾅδου κάθοδον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζομεν, δι᾿ ὧν τῆς φθορᾶς τὸ ἡμέτερον γένος ἀνακληθὲν, πρὸς αἰωνίαν ζωὴν μεταβέβηκε.

Στίχοι.

Μάτην φυλάττεις τὸν τάφον, κουστωδία.
Οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

Τῇ ἀνεκφράστῳ σου συγκαταβάσει, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

'Ωδὴ Ζ'. Ὁ Εἱρμός.

» Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ρυσάμενος τοὺς ὁσίους
» παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς, ἄπνους κατατίθε-
» ται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς,
» εὐλογητὸς εἶ».

Τροπάρια.

Τέτρωται ᾅδης, ἐν τῇ καρδίᾳ δεξάμενος τὸν τρωθέντα λόγχῃ τὴν πλευρὰν, καὶ στένει πυρὶ θείῳ δαπανώμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Ὄλβιος τάφος! ἐν ἑαυτῷ γὰρ δεξάμενος ὡς ὑπνοῦντα τὸν Δημιουργὸν, ζωῆς θησαυρὸς θεῖος ἀναδέδεικται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Δόξα.

Νόμῳ θανόντων τὴν ἐν τῷ τάφῳ κατάθεσιν ἡ τῶν ὅλων δέχεται ζωὴ, καὶ τοῦτον πηγὴν δείκνυσιν ἐγέρσεως, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Καὶ νῦν.

Μία ὑπῆρχεν ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος, καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ θεότης Χριστοῦ σὺν Πατρὶ καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Ἄφραστον θαῦμα.

'Ωδὴ Η'. Ὁ Εἱρμός.

» Ἔκστηθι φρίττων, οὐρανὲ, καὶ σαλευθήτωσαν τὰ θεμέλια
» τῆς γῆς· ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰ-
» κῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται· ὃν παῖδες εὐλογεῖτε,
» ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Τροπάρια.

Λέλυται ἄχραντος ναὸς, τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν· Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος ὁ ἐν ὑψίστοις

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

οἰκῶν, κατῆλθε μέχρις ᾄδου ταμείων· ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον.

Πέπαυται τόλμα μαθητῶν, Ἀριμαθαίας δὲ ἀριστεύει Ἰωσήφ· νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος τὸν ἐπὶ πάντων Θεὸν, αἰτεῖται καὶ κηδεύει κραυγάζων· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

Ὢ τῶν θαυμάτων τῶν καινῶν! ὢ ἀγαθότητος; ὢ ἀφράστου ἀνοχῆς! ἑκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πλάνος Θεὸς συκοφαντεῖται· ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Ἔκστηθι φρίττων, οὐρανέ.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες, μεγαλύνομεν.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

» Μὴ ἐποδύρου μου, μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γα-
» στρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱόν. Ἀναστήσομαι γὰρ
» καὶ δοξασθήσομαι καὶ ὑψώσω ἐν δόξῃ ἀπαύστως, ὡς Θεὸς,
» τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας».

Τροπάρια.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ τὰς ὀδύνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην, ἄναρχε Υἱέ· νῦν δέ σε, Θεέ μου, ἄπνουν ὁρῶσα νεκρὸν, τῇ ρομφαίᾳ τῆς λύπης σπαράττομαι δεινῶς· ἀλλ' ἀνάστηθι, ὅπως μεγαλυνθήσωμαι.

Δόξα.

Γῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾄδου οἱ πυλωροὶ, ἠμφιεσμένον βλέποντες στολὴν ᾑμαγμένην, μῆτερ, τῆς ἐκδικήσεως· τοὺς ἐχθροὺς ἐν Σταυρῷ γὰρ πατάξας ὡς Θεὸς, ἀναστήσομαι αὖθις καὶ μεγαλύνω σε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

### Καὶ νῦν.

Ἀγαλλιάσθω ἡ κτίσις, εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς· ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης· μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν· τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ λυτροῦμαι παγγενῆ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.

Καταβασία. Μὴ ἐποδύρου μου, μῆτερ.

Εἰς τὸ τέλος τῆς Θ' Ὠδῆς ἡ συναπτὴ γίνεται μετὰ τὰ εὐλογητάρια (ὅρα σελ. 275).

Μετὰ τὴν Θ' Ὠδὴν ἀρχόμεθα ψάλλειν τὰ ἑπόμενα τροπάρια, ἤτοι τὰ ἐγκώμια εἰς τρεῖς στάσεις. (*)

---

## ΣΤΑΣΙΣ Α'.

### Ἦχος πλ. α'.

Ἡ ζωὴ ἐν τάφῳ κατετέθης, Χριστέ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Ἡ ζωὴ πῶς θνήσκεις; πῶς καὶ τάφῳ οἰκεῖς; τοῦ θανάτου τὸ βασίλειον λύεις δὲ καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

Μεγαλύνομέν σε, Ἰησοῦ βασιλεῦ, καὶ τιμῶμεν τὴν ταφὴν καὶ τὰ πάθη σου, δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Μέτρα γῆς ὁ στήσας, ἐν σμικρῷ κατοικεῖς, Ἰησοῦ παμβασιλεῦ, τάφῳ σήμερον, ἐκ μνημάτων τοὺς θανόντας ἀνιστῶν.

---

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ, εἰς τὸ τέλος τῆς Θ' Ὠδῆς ἐξέρχεται ὁ πατριάρχης ἀπὸ τοῦ ἱεροῦ βήματος, ἐνδεδυμένος ἅπασαν τὴν ἀρχιερατικὴν στολήν, προπορευομένων τῶν ἁγίων ἀρχιερέων καὶ ψάλλων τό, **Ἡ ζωὴ ἐν τάφῳ,** προχωρεῖ πρὸς τὸν Ἐπιτάφιον καὶ θυμιᾷ αὐτὸν σταυροειδῶς, ἀκολούθως δὲ πάντα τὸν λαόν. Οἱ δὲ ἀρχιερεῖς ἱστάμενοι ἐν χοροστασίᾳ, ψάλλουσι τὰ ἐγκώμια τῆς Α' στάσεως, ἕως οὗ ἐπιστρέψει ὁ πατριάρχης εἰς τὸν θρόνον, εἰς τὸ τέλος τὸ πρῶτον τροπάριον, εἶτα Συναπτὴ μικρά. Ἡ ἐκφώνησις παρὰ τοῦ πατριάρχου, Πᾶσαι δὲ αἱ ἐφεξῆς ἐκφωνήσεις μέχρι τῆς μετὰ τὴν Θ' Ὠδήν, **Ὅτι σὲ αἰνοῦσι** συμπεριλαμβανομένης, γίνονται παρὰ τοῦ πατριάρχου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἰησοῦ Χριστέ μου, βασιλεῦ τοῦ παντὸς, τί ζητῶν τοῖς ἐν τῷ ᾅδῃ ἐλήλυθας; ἢ τὸ γένος ἀπολῦσαι τῶν βροτῶν.

Ὁ δεσπότης πάντων καθορᾶται νεκρὸς, καὶ ἐν μνήματι καινῷ κατατίθεται, ὁ κενώσας τὰ μνημεῖα τῶν νεκρῶν.

Ἡ ζωὴ ἐν τάφῳ κατετέθης, Χριστὲ, καὶ θανάτῳ σου τὸν θάνατον ὤλεσας, καὶ ἐπήγασας τῷ κόσμῳ τὴν ζωήν.

Μετὰ τῶν κακούργων, ὡς κακοῦργος, Χριστὲ, ἐλογίσθης, δικαιῶν ἡμᾶς ἅπαντας κακουργίας τοῦ ἀρχαίου πτερνιστοῦ.

Ὁ ὡραῖος κάλλει παρὰ πάντας βροτοὺς, ὡς ἀνείδεος νεκρὸς καταφαίνεται, ὁ τὴν φύσιν ὡραΐσας τοῦ παντός.

Ἅδης πῶς ὑποίσει, Σῶτερ, παρουσίαν τὴν σὴν, καὶ μὴ θᾶττον συνθλασθείη σκοτούμενος, ἀστραπῆς φωτός σου αἴγλῃ ἐκτυφλωθείς.

Ἰησοῦ, γλυκύ μου καὶ σωτήριον φῶς, τάφῳ πῶς ἐν σκοτεινῷ κατακέκρυψαι; Ὢ ἀφάτου καὶ ἀρρήτου ἀνοχῆς!

Ἀπορεῖ καὶ φύσις νοερὰ καὶ πληθὺς ἡ ἀσώματος, Χριστὲ, τὸ μυστήριον τῆς ἀφράστου καὶ ἀρρήτου σου ταφῆς.

Ὢ θαυμάτων ξένων! ὢ πραγμάτων καινῶν! ὁ πνοῆς μου χορηγὸς ἄπνους φέρεται, κηδευόμενος χερσὶ τοῦ Ἰωσήφ.

Καὶ ἐν τάφῳ ἔδυς, καὶ τῶν κόλπων, Χριστὲ, τῶν πατρῴων οὐδαμῶς ἀπεφοίτησας· τοῦτο ξένον καὶ παράδοξον ὁμοῦ.

Ἀληθὴς καὶ πόλου καὶ τῆς γῆς βασιλεὺς, εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλεισαι, ἐπεγνώσθης πάσῃ κτίσει, Ἰησοῦ.

Σοῦ τεθέντος τάφῳ, πλαστουργέτα Χριστὲ, τὰ τοῦ ᾅδου ἐσαλεύθη θεμέλια, καὶ μνημεῖα ἠνεῴχθη τῶν βροτῶν.

Ὁ τὴν γῆν κατέχων τῇ δρακὶ νεκρωθεὶς, σαρκικῶς ὑπὸ τῆς γῆς νῦν συνέχεται, τοὺς νεκροὺς λυτρῶν τῆς ᾅδου συνοχῆς.

Ἐκ φθορᾶς ἀνέβης ἡ ζωή μου, Σωτὴρ, σοῦ θανόντος καὶ νεκροῖς προσφοιτήσαντος καὶ συνθλάσαντος τοῦ ᾅδου τοὺς μοχλούς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὡς φωτὸς λυχνία, νῦν ἡ σὰρξ τοῦ Θεοῦ ὑπὸ γῆν ὡς ὑπὸ μόδιον κρύπτεται καὶ διώκει τὸν ἐν ᾅδῃ σκοτασμόν.

Νοερῶν συντρέχει στρατιῶν ἡ πληθὺς Ἰωσὴφ καὶ Νικοδήμῳ συστεῖλαί σε, τὸν ἀχώρητον, ἐν μνήματι σμικρῷ.

Νεκρωθεὶς βουλήσει, καὶ τεθεὶς ὑπὸ γῆν, ζωοβρύτα Ἰησοῦ μου, ἐζώωσας νεκρωθέντα παραβάσει με πικρᾷ.

Ἠλλοιοῦτο πᾶσα κτίσις πάθει τῷ σῷ, πάντα γάρ σοι, Λόγε, συνέπασχον, συνοχέα σε γινώσκοντα παντός.

Τῆς ζωῆς τὴν πέτραν ἐν κοιλίᾳ λαβὼν ᾅδης ὁ παμφάγος, ἐξήμεσεν ἐξ αἰῶνος, οὓς κατέπιε νεκρούς.

Ἐν καινῷ μνημείῳ κατετέθης, Χριστὲ, καὶ τὴν φύσιν τῶν βροτῶν ἀνεκαίνισας, ἀναστὰς θεοπρεπῶς ἐκ τῶν νεκρῶν.

Ἐπὶ γῆς κατῆλθες, ἵνα σώσῃς Ἀδάμ, καὶ ἐν γῇ μὴ εὑρηκὼς τοῦτον, Δέσποτα, μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Συγκλονεῖται φόβῳ πᾶσα, Λόγε, ἡ γῆ, καὶ φωσφόρος τὰς ἀκτῖνας ἀπέκρυψε, τοῦ μεγίστου γῇ κρυβέντος σου φωτός.

Ὡς βροτὸς μὲν θνήσκεις, ἑκουσίως, Σωτὴρ, ὡς Θεὸς δὲ τοὺς νεκροὺς ἐξανέστησας ἐκ μνημάτων καὶ βυθοῦ ἁμαρτιῶν.

Δακρυρρόους θρήνους ἐπὶ σὲ ἡ Ἁγνὴ, μητρικῶς, ὦ Ἰησοῦ, ἐπιρραίνουσα, ἀνεβόα, πῶς κηδεύσω σε Υἱέ;

Ὥσπερ σίτου κόκκος, ὑποδὺς κόλπους γῆς, τὸν πολύχουν ἀποδέδωκας ἄσταχυν, ἀναστήσας τοὺς βροτοὺς τοὺς ἐξ Ἀδάμ.

Ὑπὸ γῆν ἐκρύβης, ὥσπερ ἥλιος νῦν, καὶ νυκτὶ τῇ τοῦ θανάτου κεκάλυψαι· ἀλλ᾿ ἀνάτειλον φαιδρότερον, Σωτήρ.

Ὡς ἡλίου δίσκον ἡ σελήνη, Σωτὴρ, ἀποκρύπτει, καὶ σὲ τάφος νῦν ἔκρυψεν, ἐκλιπόντα τοῦ θανάτου σαρκικῶς.

Ἡ ζωὴ θανάτου γευσαμένη, Χριστὸς, ἐκ θανάτου τοὺς βροτοὺς ἠλευθέρωσε, καὶ τοῖς πᾶσι νῦν δωρεῖται τὴν ζωήν.

Νεκρωθέντα πάλαι τὸν Ἀδὰμ φθονερῶς, ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου, νέος, Σῶτερ, ἐν σαρκὶ φανεὶς Ἀδάμ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Νοεραί σε τάξεις ἡπλωμένον νεκρὸν καθορῶσαι δι᾽ ἡμᾶς, ἐξεπλήττοντο, καλυπτόμεναι ταῖς πτέρυξι, Σωτήρ.

Καθελών σε, Λόγε, ἀπὸ ξύλου νεκρὸν, ἐν μνημείῳ Ἰωσὴφ νῦν κατέθετο· ἀλλ᾽ ἀνάστα σώζων πάντας ὡς Θεός.

Τῶν ἀγγέλων, Σῶτερ, χαρμονὴ πεφυκὼς, νῦν καὶ λύπης τούτοις γέγονας αἴτιος, καθορώμενος σαρκὶ ἄπνους νεκρός.

Ὑψωθεὶς ἐν ξύλῳ, καὶ τοὺς ζῶντας βροτοὺς συνυψοῖς· ὑπὸ τὴν γῆν δὲ γενόμενος, τοὺς κειμένους ὑπ᾽ αὐτὴν ἐξανιστᾷς.

Ὥσπερ λέων, Σῶτερ, ἀφυπνώσας σαρκὶ, ὥς τις σκύμνος ὁ νεκρὸς ἐξανίστασαι, ἀποθέμενος τὸ γῆρας τῆς σαρκός.

Τὴν πλευρὰν ἐνύγης, ὁ πλευρὰν εἰληφὼς τοῦ Ἀδὰμ, ἐξ ἧς τὴν Εὔαν διέπλασας, καὶ ἐξέβλυσας κρουνοὺς καθαρτικούς.

Ἐν κρυπτῷ μὲν πάλαι θύεται ὁ ἀμνός· σὺ δ᾽ ὑπαίθριος τυθεὶς, ἀνεξίκακε, πᾶσαν κτίσιν ἀπεκάθηρας, Σωτήρ.

Τίς ἐξείποι τρόπον, φρικτὸν ὄντως καινόν; Ὁ δεσπόζων γὰρ τῆς κτίσεως σήμερον πάθος δέχεται καὶ θνήσκει δι᾽ ἡμᾶς.

Ὁ ζωῆς ταμίας πῶς ὁρᾶται νεκρός; ἐκπληττόμενοι οἱ ἄγγελοι ἔκραζον· πῶς δ᾽ ἐν μνήματι συγκλείεται Θεός;

Λογχονύκτου, Σῶτερ, ἐκ πλευρᾶς σου ζωὴν, τῇ ζωῇ τῇ ἐκ ζωῆς ἐξωσάσῃ με, ἐπιστάζεις καὶ ζωοῖς με σὺν αὐτῇ.

Ἁπλωθεὶς ἐν ξύλῳ, συνηγάγου βροτούς· τὴν πλευράν σου δὲ νυγεὶς τὴν ζωήρρυτον, πᾶσιν ἄφεσιν πηγάζεις, Ἰησοῦ.

Ὁ εὐσχήμων, Σῶτερ, σχηματίζει φρικτῶς καὶ κηδεύει ὡς νεκρὸν εὐσχημόνως σε, καὶ θαμβεῖταί σου τὸ σχῆμα τὸ φρικτόν.

Ὑπὸ γῆν βουλήσει κατελθὼν ὡς θνητὸς, ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια τοὺς ἐκεῖθεν πεπτωκότας, Ἰησοῦ.

Κἂν νεκρὸς ὠράθης, ἀλλὰ ζῶν, ὡς Θεὸς, ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια τοὺς ἐκεῖθεν πεπτωκότας, Ἰησοῦ.

Κἂν νεκρὸς ὠράθης, ἀλλὰ ζῶν, ὡς Θεὸς, νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας, τὸν ἐμὸν ἀπονεκρώσας νεκρωτήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὢ χαρᾶς ἐκείνης! ὢ πολλῆς ἡδονῆς! ἧς περ τοῖς ἐν ᾅδῃ πεπλήρωκας, ἐν πυθμέσι φῶς ἀστράψας ζοφεροῖς.

Προσκυνῶ τὸ πάθος, ἀνυμνῶ τὴν ταφήν, μεγαλύνω σου τὸ κράτος, φιλάνθρωπε, δι᾽ ὧν λέλυμαι παθῶν φθοροποιῶν.

Κατὰ σοῦ ρομφαία ἐστιλβοῦτο, Χριστέ, καὶ ρομφαία ἰσχυροῦ μὲν ἀμβλύνεται, καὶ ρομφαία δὲ τροποῦται τῆς Ἐδέμ.

Ἡ ἀμνὰς τὸν ἄρνα βλέπουσα ἐν σφαγῇ, ταῖς ἀκίσι βαλλομένη ἠλάλαζε, συγκινοῦσα καὶ τὸ ποίμνιον βοᾶν.

Κἂν ἐνθάπτῃ τάφῳ, κἂν εἰς ᾅδου μολῇς, ἀλλά, Σῶτερ, καὶ τοὺς τάφους ἐκένωσας, καὶ τὸν ᾅδην ἀπεγύμνωσας, Χριστέ.

Ἑκουσίως, Σῶτερ, κατελθὼν ὑπὸ γῆν, νεκρωθέντας τοὺς νεκροὺς ἀνεζώωσας καὶ ἀνήγαγες ἐν δόξῃ πατρικῇ.

Τῆς Τριάδος ὁ εἷς ἐν σαρκὶ δι᾽ ἡμᾶς ἐπονείδιστον ὑπέμεινε θάνατον· φρίττει ἥλιος καὶ τρέμει δὲ ἡ γῆ.

Ὡς πικρᾶς ἐκ κρήνης τῆς Ἰούδα φυλῆς οἱ ἀπόγονοι ἐν λάκκῳ κατέθεντο τὸν τροφέα μανναδότην Ἰησοῦν.

Ὁ κριτὴς ὡς κριτὸς πρὸ Πιλάτου κριτοῦ καὶ παρίστατο, καὶ θάνατον ἄδικον κατεκρίθη διὰ ξύλου σταυρικοῦ.

Ἀλαζὼν Ἰσραήλ, μιαιφόνε λαέ, τί παθὼν τὸν Βαραββᾶν ἠλευθέρωσας, τὸν Σωτῆρα δὲ παρέδωκες Σταυρῷ;

Ὁ χειρί σου πλάσας τὸν Ἀδὰμ ἐκ τῆς γῆς, δι᾽ αὐτὸν τῇ φύσει γέγονας ἄνθρωπος, καὶ ἐσταύρωσαι βουλήματι τῷ σῷ.

Ὑπακούσας, Λόγε, τῷ ἰδίῳ Πατρί, μέχρις ᾅδου τοῦ δεινοῦ καταβέβηκας καὶ ἀνέστησας τὸ γένος τῶν βροτῶν.

Οἴμοι, φῶς τοῦ κόσμου! Οἴμοι, φῶς τὸ ἐμόν! Ἰησοῦ μου ποθεινότατε, ἔκραζεν ἡ Παρθένος, θρηνῳδοῦσα γοερῶς.

Φθονουργέ, φονουργὲ καὶ ἀλάστορ λαέ, κἂν σινδόνας καὶ αὐτὸ τὸ σουδάριον αἰσχύνθητι, ἀναστάντος τοῦ Χριστοῦ.

Δεῦρο δή, μιαρέ, φονευτὰ μαθητά, καὶ τὸν τρόπον τῆς κακίας σου δεῖξόν μοι, δι᾽ ὃν γέγονας προδότης τοῦ Χριστοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὡς φιλάνθρωπός τις ὑποκρίνει, μωρὲ καὶ τυφλὲ, πανωλεθρότατε, ἄσπονδε, ὁ τὸ μύρον πεπρακὼς διὰ τιμῆς.

Οὐρανίου μύρου ποίαν ἔσχες τιμήν; τοῦ τιμίου τί ἐδέξω ἀντάξιον; λύσσαν εὗρες, καταρώτατε σατάν.

Εἰ φιλόπτωχος εἶ καὶ τὸ μύρον λυπῇ, κενουμένου εἰς ψυχῆς ἱλαστήριον, πῶς χρυσῷ ἀπεμπολεῖς τὸν φωταυγῆ;

Ὦ Θεὲ καὶ Λόγε, ὦ χαρὰ ἡ ἐμή· πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον; Νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

Τίς μοι δώσει ὕδωρ καὶ δακρύων πηγάς, ἡ θεόνυμφος Παρθένος ἐκραύγαζεν, ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν;

Ὦ βουνοὶ καὶ νάπαι καὶ ἀνθρώπων πληθὺς, κλαύσατε καὶ πάντα θρηνήσατε, σὺν ἐμοὶ τῇ τοῦ Θεοῦ ἡμῶν μητρί.

Πότε ἴδω, Σῶτερ, σὲ τὸ ἄχρονον φῶς, τὴν χαρὰν καὶ ἡδονὴν τῆς καρδίας μου; ἡ Παρθένος ἀνεβόα γοερῶς.

Κἂν ὡς πέτρα, Σῶτερ, ἡ ἀκρότομος σὺ, κατεδέξω τὴν τομὴν, ἀλλ᾽ ἐπήγασας ζῶν τὸ ρεῖθρον, ὡς πηγὴ ὢν τῆς ζωῆς.

Ὡς ἐκ κρήνης μιᾶς, τὸν διπλοῦν ποταμὸν τῆς πλευρᾶς σου προχεούσης ἀρδόμενοι, τὴν ἀθάνατον καρπούμεθα ζωήν.

Θέλων ὤφθης, Λόγε, ἐν τῷ τάφῳ νεκρὸς, ἀλλὰ ζῇς καὶ τοὺς βροτοὺς ὡς προείρηκας, ἀναστάσει σῇ, Σωτήρ μου, ἐγερεῖς.

Δόξα.

Ανυμνοῦμεν, Λόγε, σὲ τὸν πάντων Θεὸν σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Καὶ νῦν.

Μακαρίζομέν σε, Θεοτόκε ἁγνὴ, καὶ τιμῶμεν τὴν ταφὴν τὴν τριήμερον τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν πιστῶς.

Καὶ πάλιν τὸ πρῶτον τροπάριον παρ᾽ ἀμφοτέρων τῶν χορῶν·

Η ζωὴ ἐν τάφῳ κατετέθης, Χριστὲ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα συναπτὴ μικρά. Ἡ ἐκφώνησις· Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία κτλ. Θυμιάσαντος δὲ τοῦ ἱερέως, ἄρχεται τῆς Β' στάσεως ὁ β' χορός.

---

## ΣΤΑΣΙΣ Β'.

### Ἦχος πλ. α'.

Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν ζωοδότην, τὸν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἐκτείναντα, καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν πάντων κτίστην· τοῖς σοῖς γὰρ παθήμασιν ἔχομεν τὴν ἀπάθειαν, ρυσθέντες τῆς φθορᾶς.

Ἔφριξεν ἡ γῆ καὶ ὁ ἥλιος, Σῶτερ, ἐκρύβη, σοῦ τοῦ ἀνεσπέρου φέγγους, Χριστὲ, δύσαντος ἐν τάφῳ σωματικῶς.

Ὕπνωσας, Χριστὲ, τὸν φυσίζωον ὕπνον ἐν τάφῳ, καὶ βαρέος ὕπνου ἐξήγειρας, τοῦ τῆς ἁμαρτίας, τὸ τῶν ἀνθρώπων γένος.

Μόνη γυναικῶν χωρὶς πόνων ἔτεκόν σε, τέκνον, πόνους δὲ νῦν φέρω πάθει τῷ σῷ ἀφορήτους, ἔλεγεν ἡ σεμνή.

Ἄνω σε, Σωτὴρ, ἀχωρίστως τῷ Πατρὶ συνόντα, κάτω δὲ νεκρὸν ἡπλωμένον γῇ, φρίττουσιν ὁρῶντα τὰ Σεραφίμ.

Ρήγνυται ναοῦ καταπέτασμα τῇ σῇ σταυρώσει, κρύπτουσι φωστῆρες, Λόγε, τὸ φῶς, σοῦ κρυβέντος, ἥλιε, ὑπὸ γῆν.

Γῆς ὁ κατ' ἀρχὰς μόνῳ νεύματι πήξας τὸν γύρον, ἄπνους ὡς βροτὸς καθυπέδυ γῆν· φρίξον τῷ θεάματι, οὐρανέ.

Ἔδυς ὑπὸ γῆν ὁ τὸν ἄνθρωπον χειρί σου πλάσας, ἵν' ἐξαναστήσῃς τοῦ πτώματος τῶν βροτῶν τὰ στίφη, πανσθενεστάτῳ κράτει.

Θρῆνον ἱερὸν δεῦτε ᾄσωμεν Χριστῷ θανόντι, ὡς αἱ μυροφόροι γυναῖκες πρὶν, ἵνα καὶ τὸ χαῖρε ἀκουσώμεθα σὺν αὐταῖς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Μύρον ἀληθῶς σὺ ἀκένωτον ὑπάρχεις, Λόγε· ὅθεν σοι καὶ μύρα προσέφερον, ὡς νεκρῷ τῷ ζῶντι, γυναῖκες μυροφόροι.

Ἅδου μὲν, ταφεὶς, τὰ βασίλεια, Χριστὲ, συντρίβεις, θάνατον θανάτῳ δὲ θανατοῖς, καὶ φθορᾶς λυτροῦσαι τοὺς γηγενεῖς.

Ῥεῖθρα τῆς ζωῆς ἡ προχέουσα Θεοῦ σοφία, τάφον ὑπεισδῦσα ζωοποιεῖ τοὺς ἐν τοῖς ἀδύτοις ᾅδου μυχοῖς.

Ἵνα τὴν βροτῶν καινουργήσω συντριβεῖσαν φύσιν, πέπληγμαι θανάτῳ θέλων σαρκί. Μῆτερ, οὖν, μὴ κόπτου τοῖς ὀδυρμοῖς.

Ἔδυς ὑπὸ γῆν ὁ φωσφόρος τῆς δικαιοσύνης, καὶ νεκροὺς ὥσπερ ἐξ ὕπνου ἐξήγειρας, ἐκδιώξας ἅπαν τὸ ἐν τῷ ᾅδῃ σκότος.

Κόκκος διφυὴς ὁ φυσίζωος ἐν γῆς λαγόσι σπείρεται σὺν δάκρυσι σήμερον· ἀλλ' ἀναβλαστήσας κόσμον χαροποιήσει.

Ἔπτηξεν Ἀδὰμ, Θεοῦ βαίνοντος ἐν παραδείσῳ, χαίρει δὲ πρὸς ᾅδην φοιτήσαντος, πεπτωκὼς τὸ πρῴην καὶ νῦν ἐγηγερμένος.

Σπένδει σοι χοὰς ἡ τεκοῦσα σε, Χριστὲ, δακρύων, σαρκικῶς κατατεθέντι ἐν μνήματι, ἐκβοῶσα· Τέκνον, ἀνάστα, ὡς προέφης.

Τάφῳ Ἰωσὴφ εὐλαβῶς σε τῷ καινῷ συγκρύπτων, ὕμνους ἐξοδίους θεοπρεπεῖς, τοῖς συμμίκτοις θρήνοις, μέλπει σοι, Σωτήρ.

Ἥλοις σε Σταυρῷ πεπαρμένον ἡ σὴ μήτηρ, Λόγε, βλέψασα τοῖς ἥλοις λύπης πικρᾶς βέβληται καὶ βέλεσι τὴν ψυχήν.

Σὲ τὸν τοῦ παντὸς γλυκασμὸν ἡ μήτηρ καθορῶσα, πόμα ποτιζόμενον τὸ πικρὸν, δάκρυσι τὰς ὄψεις βρέχει πικρῶς.

Τέτρωμαι δεινῶς καὶ σπαράττομαι τὰ σπλάγχνα, Λόγε, βλέπουσα τὴν ἄδικόν σου σφαγὴν, ἔλεγεν ἡ Πάναγνος ἐν κλαυθμῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὄμμα τὸ γλυκὺ καὶ τὰ χείλη σου πῶς μύσω, Λόγε; πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε; φρίττων ἀνεβόα ὁ Ἰωσήφ.

Ὕμνους Ἰωσὴφ καὶ Νικόδημος ἐπιταφίους ᾄδουσι Χριστῷ, νεκρωθέντι νῦν· ᾄδει δὲ σὺν τούτοις καὶ Σεραφίμ.

Δύνεις ὑπὸ γῆν, Σῶτερ, ἥλιε δικαιοσύνης· ὅθεν ἡ τεκοῦσα σελήνη σε ταῖς λύπαις ἐκλείπει, σῆς θέας στερουμένη.

Ἔφριξεν ὁρῶν, Σῶτερ, ᾅδης σε, τὸν ζωοδότην, πλοῦτον τὸν ἐκείνου σκυλεύοντα, καὶ τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανιστῶντα.

Ἥλιος φαιδρὸν ἀπαστράπτει μετὰ νύκτα, Λόγε· καὶ σὺ δὲ ἀναστὰς ἐξαστράψειας μετὰ θάνατον φαιδρῶς ὡς ἐκ παστοῦ.

Γῆ σε, πλαστουργὲ, ὑπὸ κόλπους δεξαμένη, τρόμῳ συσχεθεῖσα, Σῶτερ, τινάσσεται, ἀφυπνώσασα νεκροὺς τῷ τιναγμῷ.

Μύροις σε, Χριστὲ, ὁ Νικόδημος καὶ ὁ εὐσχήμων νῦν καινοπρετῶς περιστείλαντες· Φρῖξον, ἀνεβόων, πᾶσα ἡ γῆ.

Ἔδυς, φωτουργὲ, καὶ συνέδυ σοι τὸ φῶς ἡλίου· τρόμῳ δὲ ἡ κτίσις συνέχεται, πάντων σε κηρύττουσα ποιητήν.

Λίθος λαξευτὸς τὸν ἀκρόγωνον καλύπτει λίθον· ἄνθρωπος θνητὸς δ' ὡς θνητὸν Θεὸν κρύπτει νῦν τῷ τάφῳ· φρῖξον ἡ γῆ.

Ἴδε μαθητὴν, ὃν ἠγάπησας, καὶ σὴν μητέρα, τέκνον, καὶ φθογγὴν δὸς, γλυκύτατον, ἔκραζε δακρύουσα ἡ ἁγνή.

Σὺ ὡς ὢν ζωῆς χορηγὸς, Λόγε, τοὺς ἰουδαίους ἐν Σταυρῷ ταθεὶς οὐκ ἐνέκρωσας· ἀλλ' ἀνέστησας καὶ τούτων τοὺς νεκρούς.

Κάλλος, Λόγε, πρὶν, οὐδὲ εἶδος ἐν τῷ πάσχειν ἔσχες, ἀλλ' ἐξαναστὰς ὑπερέλαμψας, καλλωπίσας τοὺς βροτοὺς θείας αὐγῆς.

Ἔδυς τῇ σαρκὶ ὁ ἀνέσπερος εἰς γῆν φωσφόρος· καὶ μὴ φέρων βλέπειν ὁ ἥλιος, ἐσκοτίσθη μεσημβρίας ἐν ἀκμῇ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἥλιος ὁμοῦ καὶ σελήνη σκοτισθέντες, Σῶτερ, δούλους εὐνοοῦντας εἰκόνιζον, οἳ μελαίνας ἀμφιέννυνται στολάς.

Οἶδέ σε Θεὸν ἑκατόνταρχος, κἂν ἐνεκρώθης· πῶς σε οὖν, Θεέ μου, ψαύσω χερσί; φρίττω, ἀνεβόα ὁ Ἰωσήφ.

Ὕπνωσεν Ἀδὰμ, ἀλλὰ θάνατον πλευρᾶς ἐξάγει, σὺ δὲ νῦν ὑπνώσας, Λόγε Θεοῦ, βρύεις ἐκ πλευρᾶς σου κόσμῳ ζωήν.

Ὕπνωσας μικρὸν καὶ ἐζώωσας τοὺς τεθνεῶτας, καὶ ἐξαναστὰς ἐξανέστησας τοὺς ὑπνοῦντας ἐξ αἰῶνος, ἀγαθέ.

Ἤρθης ἀπὸ γῆς, ἀλλ᾽ ἀνέβλυσας τῆς σωτηρίας τὸν οἶνον, ζωήρρυτε ἄμπελε. Δοξάζω τὸ πάθος καὶ τὸν Σταυρόν.

Πῶς οἱ νοεροὶ ταγματάρχαι σε, Σωτὴρ, ὁρῶντες γυμνὸν, ᾑμαγμένον, κατάκριτον, ἔφερον τὴν τόλμην τῶν σταυρωτῶν.

Ἀραβιανὸν, σκολιώτατον γένος Ἑβραίων, ἔγνως τὴν ἀνέγερσιν τοῦ ναοῦ· διὰ τί κατέκρινας τὸν Χριστόν;

Χλαῖναν ἐμπαιγμοῦ τὸν κοσμήτορα πάντων ἐνδύεις, ὃς τὸν οὐρανὸν κατηστέρωσε, καὶ τὴν γῆν ἐκόσμησε θαυμαστῶς.

Ὥσπερ πελεκὰν, τετρωμένος τὴν πλευράν σου, Λόγε, σοὺς θανόντας παῖδας ἐζώωσας, ἐπιστάξας ζωτικοὺς αὐτοῖς κρουνούς.

Ἥλιος τὸ πρὶν, Ἰησοῦς τοὺς ἀλλοφύλους κόπτων, ἔστησεν· αὐτὸς δὲ ἀπέκρυψας, καταβάλλων τὸν τοῦ σκότους ἀρχηγόν.

Κόλπων πατρικῶν ἀνεκφοίτητος μείνας, οἰκτίρμον, καὶ βροτὸς γενέσθαι ηὐδόκησας, καὶ εἰς ᾅδην καταβέβηκας, Χριστέ.

Ἤρθη σταυρωθεὶς ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, καὶ ὡς ἄπνους ἐν αὐτῇ νῦν προσκλίνεται, ὃ μὴ φέρουσα ἐσείετο δεινῶς.

Οἴμοι, ὦ Υἱέ! ἡ ἀπείρανδρος θρηνεῖ καὶ λέγει· ὃν ὡς βασιλέα γὰρ ἤλπιζον, κατάκριτον νῦν βλέπω ἐν Σταυρῷ.

Ταῦτα Γαβριὴλ μοὶ ἀπήγγειλεν, ὅτε κατέπτη, ὃς τὴν βασιλείαν αἰώνιον, ἔφη, τοῦ Υἱοῦ μου τοῦ Ἰησοῦ;

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Φεῦ! τοῦ Συμεων ἐκτετέλεσται ἡ προφητεία· ἡ γὰρ σὴ ρομφαία διέδραμε τὴν ἐμὴν καρδίαν, Ἐμμανουήλ.

Κἂν τοὺς ἐκ νεκρῶν ἐπαισχύνθητε, ὦ Ἰουδαῖοι, οὓς ὁ ζωοδότης ἀνέστησεν, ὃν ὑμεῖς ἐκτείνατε φθονερῶς.

Ἔφριξεν ἰδὼν τὸ ἀόρατον φῶς σε, Χριστέ μου, μνήματι κρυπτόμενον ἄπνουν τε, καὶ ἐσκότασεν ὁ ἥλιος τὸ φῶς.

Ἔκλαιε πικρῶς ἡ πανάμωμος μήτηρ σου, Λόγε, ὅτε ἐν τῷ τάφῳ ἑώρακε σὲ τὸν ἄφραστον καὶ ἄναρχον Θεόν.

Νέκρωσιν τὴν σὴν ἡ πανάφθορος, Χριστὲ, σοῦ μήτηρ, βλέπουσα πικρῶς σοι ἐφθέγγετο· Μὴ βραδύνῃς ἡ ζωὴ ἐν τοῖς νεκροῖς.

Ἅδης ὁ δεινὸς συνετρόμαξεν ὅτε σε εἶδεν, ἥλιε τῆς δόξης ἀθάνατε, καὶ ἐδίδου τοὺς δεσμίους ἐν σπουδῇ.

Μέγα καὶ φρικτὸν, Σῶτερ, θέαμα νῦν καθορᾶται· ὁ ζωῆς γὰρ θέλων παραίτιος θάνατον ὑπέστη, ζωῶσαι θέλων πάντας.

Νύττῃ τὴν πλευρὰν καὶ ἡλοῦσαι, Δέσποτα, τὰς χεῖρας, πληγὴν ἐκ πλευρᾶς σου ἰώμενος καὶ τὴν ἀκρασίαν χειρῶν τῶν προπατόρων.

Πρὶν τὸν τῆς Ραχὴλ υἱὸν ἔκλαυσεν ἅπας κατ' οἶκον· νῦν τὸν τῆς Παρθένου ἐκόψατο μαθητῶν χορεία σὺν τῇ μητρί.

Ράπισμα χειρῶν Χριστοῦ δέδωκαν ἐν σιαγόνι, τοῦ χειρὶ τὸν ἄνθρωπον πλάσαντος καὶ τὰς μύλας θλάσαντος τοῦ θηρός.

Ὕμνοις σου, Χριστὲ, νῦν τὴν σταύρωσιν καὶ τὴν ταφήν τε ἅπαντες πιστοὶ ἐκθειάζομεν, οἱ θανάτου λυτρωθέντες τῇ ταφῇ.

Δόξα.

Ἄναρχε Θεὲ, συναΐδιε Λόγε καὶ Πνεῦμα, σκῆπτρα τῶν ἀνάκτων κραταίωσον κατὰ πολεμίων, ὡς ἀγαθός.

Καὶ νῦν.

Τέξασα ζωὴν, παναμώμητε ἁγνὴ Παρθένε, παῦσον Ἐκκλησίας τὰ σκάνδαλα καὶ βράβευσον εἰρήνην, ὡς ἀγαθή.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ πάλιν τὸ πρῶτον τροπάριον παρ' ἀμφοτέρων τῶν χορῶν.

Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν Ζωοδότην, τὸν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἐκτείναντα καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Εἶτα συναπτὴ μικρὰ καὶ ἡ ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΣΤΑΣΙΣ Γ'.

### Ἦχος γ'.

Αἱ γενεαὶ πᾶσαι ὕμνον τῇ ταφῇ σου προσφέρουσι, Χριστέ μου.

Καθελὼν τοῦ ξύλου ὁ Ἀριμαθείας, ἐν τάφῳ σε κηδεύει.

Μυροφόροι ἦλθον μύρα σοι, Χριστέ μου, κομίζουσαι προφρόνως.

Δεῦρο πᾶσα κτίσις ὕμνους ἐξοδίους προσοίσωμεν τῷ Κτίστῃ.

Ὡς νεκρὸν τὸν ζῶντα, σὺν Μυροφόροις πάντες μυρίσωμεν ἐμφρόνως.

Ἰωσὴφ τρισμάκαρ, κήδευσον τὸ σῶμα Χριστοῦ τοῦ Ζωοδότου.

Οὓς ἔθρεψε τὸ μάννα, ἐκίνησαν τὴν πτέρναν κατὰ τοῦ εὐεργέτου.

Οὓς ἔθρεψε τὸ μάννα, φέρουσι τῷ Σωτῆρι χολὴν ἅμα καὶ ὄξος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὢ τῆς παραφροσύνης καὶ τῆς χριστοκτονίας τῆς τῶν προφητοκτόνων!

Ὡς ἄφρων ὑπηρέτης, προδέδωκεν ὁ μύστης τὴν ἄβυσσον σοφίας.

Τὸν ρύστην ὁ πωλήσας αἰχμάλωτος κατέστη, ὁ δόλιος Ἰούδας.

Κατὰ τὸν Σολομῶντα, βόθρος βαθὺς τὸ στόμα ἑβραίων παρανόμων.

Ἑβραίων παρανόμων ἐν σκολιαῖς πορείαις τρίβολοι καὶ παγίδες.

Ἰωσὴφ κηδεύει σὺν τῷ Νικοδήμῳ νεκροπρεπῶς τὸν κτίστην.

Ζωοδότα Σῶτερ, δόξα σου τῷ κράτει, τὸν ᾅδην καθελόντι.

Ὕπτιον ὁρῶσα ἡ πάναγνός σε, Λόγε, μητροπρεπῶς ἐθρήνει.

Ὢ γλυκύ μου ἔαρ, γλυκύτατόν μου τέκνον, ποῦ ἔδυ σου τὸ κάλλος;

Θρῆνον συνεκίνει ἡ πάναγνός σου μήτηρ, σοῦ, Λόγε, νεκρωθέντος.

Γύναια σὺν μύροις ἥκουσι μυρίσαι Χριστὸν, τὸ θεῖον μύρον.

Θάνατον θανάτῳ σὺ θανατοῖς, Θεέ μου, θείᾳ σου δυναστείᾳ.

Πεπλάνηται ὁ πλάνος, ὁ πλανηθεὶς λυτροῦται, σοφίᾳ σῇ, Θεέ μου.

Πρὸς τὸν πυθμένα ᾅδου κατήχθη ὁ προδότης, διαφθορᾶς εἰς φρέαρ.

Τρίβολοι καὶ παγίδες ὁδοὶ τοῦ τρισαθλίου παράφρονος Ἰούδα.

Συναπολοῦνται πάντες οἱ σταυρωταί σου, Λόγε, Υἱὲ Θεοῦ παντάναξ.

Διαφθορᾶς εἰς φρέαρ συναπολοῦνται πάντες οἱ ἄνδρες τῶν αἱμάτων.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Υἱὲ Θεοῦ παντάναξ, Θεέ μου πλαστουργέ μου, πῶς πάθος κατεδέξω;

Ἡ δάμαλις τὸν μόσχον, ἐν ξύλῳ κρεμασθέντα, ἠλάλαζεν ὁρῶσα.

Σῶμα τὸ ζωηφόρον ὁ Ἰωσὴφ κηδεύει μετὰ τοῦ Νικοδήμου.

Ἀνέκραζεν ἡ Κόρη, θερμῶς δακρυρροοῦσα, τὰ σπλάγχνα κεντουμένη.

Ὦ φῶς τῶν ὀφθαλμῶν μου, γλυκύτατόν μου τέκνον, πῶς τάφῳ νῦν καλύπτῃ;

Τὸν Ἀδὰμ καὶ Εὔαν ἐλευθερῶσαι, μῆτερ, μὴ θρήνει, ταῦτα πάσχω.

Δοξάζω σου, Υἱέ μου, τὴν ἄκραν εὐσπλαγχνίαν, ἧς χάριν ταῦτα πάσχεις.

Ὄξος ἐποτίσθης καὶ χολὴν, οἰκτίρμον, τὴν πάλαι λύων γεῦσιν.

Ἰκρίῳ προσεπάγης ὁ πάλαι τὸν λαόν σου στύλῳ νεφέλης σκέπων.

Αἱ μυροφόροι, Σῶτερ, τῷ τάφῳ προσελθοῦσαι προσέφερόν σοι μύρα.

Ἀνάστηθι, οἰκτίρμον, ἡμᾶς ἐκ τῶν βαράθρων ἐξανιστῶν τοῦ ᾅδου.

Ἀνάστα, ζωοδότα, ἡ σὲ τεκοῦσα μήτηρ δακρυρροοῦσα λέγει.

Σπεῦσον ἐξαναστῆναι, τὴν λύπην λύων, Λόγε, τῆς σὲ ἁγνῶς τεκούσης.

Οὐράνιαι Δυνάμεις ἐξέστησαν τῷ φόβῳ, νεκρόν σε καθορῶσαι.

Τοῖς πόθῳ τε καὶ φόβῳ τὰ πάθη σου τιμῶσι δίδου πταισμάτων λύσιν.

Ὢ φρικτὸν καὶ ξένον θέαμα, Θεοῦ Λόγε; πῶς γῆ σε συγκαλύπτει;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Φέρων πάλαι φεύγει, Σῶτερ, Ἰωσὴφ σε, καὶ νῦν σε ἄλλος θάπτει.

Κλαίει καὶ θρηνεῖ σε ἡ πάναγνός σου μήτηρ, Σωτήρ μου, νεκρωθέντα.

Φρίττουσιν οἱ νόες τὴν ξένην καὶ φρικτήν σου ταφὴν, τοῦ πάντων κτίστου.

Ἔραναν τὸν τάφον αἱ μυροφόροι μύρα, λίαν πρωῒ ἐλθοῦσαι. (*)

Εἰρήνην Ἐκκλησίᾳ, λαῷ σου σωτηρίαν δώρησαι σῇ ἐγέρσει.

Δόξα.

Ὦ Τριὰς Θεέ μου, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον. Καὶ νῦν.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου ἀνάστασιν, Παρθένε, ἀξίωσον σοὺς δούλους.

Καὶ πάλιν τὸ πρῶτον παρ᾿ ἀμφοτέρων τῶν χορῶν.

Αἱ γενεαὶ πᾶσαι ὕμνον τῇ ταφῇ σου προσφέρουσι, Χριστέ μου.

Εἶτα συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως καὶ ἡ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς τὰ Εὐλογητάρια εἰς ἦχον πλ. α΄. Ἐν ἑκάστῳ δὲ λέγομεν τὸ, Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ, Σωτὴρ, τὴν ἰσχὺν καθελόντα

(*) Εἰς τὸ, Ἔρανον τὸν τάφον ὁ πατριάρχης κατέρχεται τοῦ θρόνου, λαμβάνει παρὰ τοῦ Μ. ἐκκλησιάρχου κανίον καὶ ραίνει τὸν Ἐπιτάφιον διὰ ροδοστάγματος, ψάλλων τὸ τροπάριον, ὅπερ ἐπαναλαμβάνεται τρίς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καὶ σὺν ἑαυτῷ τον Ἀδὰμ ἐγείραντα, καί ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε; Ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον, καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν ἀνάστασιν δὲ Ἀποστόλοις εἴπατε.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο Ἀγγέλου, τρανῶς πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα Πατρί. Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα· τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ κράζοντες τό, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν. Θεοτόκιον.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες, ρεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεὸς (ἐκ τρίτου).

Εἶτα συναπτὴ μικρά. Ἡ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν κτλ.

Ἐξαποστειλάριον. Ἦχος β'.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν (ἐκ τρίτου τοῦτο καὶ μόνον).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἰς τοὺς Αἴνους (*) ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ ἰδιόμελα.

Ἦχος β'.

Σήμερον συνέχει τάφος τὸν συνέχοντα παλάμῃ τὴν κτίσιν· καλύπτει λίθος τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς· ὑπνοῖ ἡ ζωή, καὶ ᾅδης τρέμει, καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται. Δόξα τῇ σῇ οἰκονομίᾳ, δι' ἧς τελέσας πάντα σαββατισμὸν αἰώνιον, ἐδωρήσω ἡμῖν τὴν παναγίαν ἐκ νεκρῶν σου ἀνάστασιν.

Τί τὸ ὁρώμενον θέαμα; τίς ἡ παροῦσα κατάπαυσις; Ὁ βασιλεὺς τῶν αἰώνων, τὴν διὰ πάθους τελέσας οἰκονομίαν, ἐν τάφῳ σαββατίζει, καινὸν ἡμῖν παρέχων σαββατισμόν· Αὐτῷ βοήσωμεν· Ἀνάστα ὁ Θεὸς κρίνων τὴν γῆν, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Δεῦτε ἴδωμεν τὴν ζωὴν ἡμῶν ἐν τάφῳ κειμένην, ἵνα τοὺς ἐν τάφοις κειμένους ζωοποιήσῃ. Δεῦτε σήμερον τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι, προφητικῶς αὐτῷ ἐκβοήσωμεν· Ἀναπεσὼν κεκοίμησαι ὡς λέων, τίς ἐγερεῖ σε, βασιλεῦ; ἀλλ' ἀνάστηθι αὐτεξουσίως ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν ἑκουσίως· Κύριε δόξα σοι.

Ἦχος πλ. β'.

Ἠτήσατο Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ· ἔδει γὰρ αὐτὸν ἐκ τάφου ὡς ἐκ παστάδος προελθεῖν· ὁ συντρίψας κράτος θανάτου καὶ ἀνοίξας πύλας παραδείσου ἀνθρώποις, δόξα σοι.

Δόξα. Ἦχος πλ. β'.

Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωϋσῆς προδιετυποῦτο, λέγων· Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην·

(*) Εἰς τὸ **Αἰνεῖτε** ὁ πατριάρχης κατέρχεται τοῦ θρόνου, προσκυνεῖ τὸν Ἐπιτάφιον, εὐλογεῖ τὸν λαὸν καὶ ἀνέρχεται αὖθις εἰς τὸν θρόνον. Ὡσαύτως καὶ οἱ ἀρχιερεῖς, ψαλλομένων τῶν Αἴνων, προσέρχονται ἀνὰ δύο, προσκυνοῦσι καὶ ἵστανται αὖθις εἰς τὰς θέσεις αὐτῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τοῦτο γάρ ἐστι τὸ εὐλογημένον Σάββατον· αὕτη ἐστὶν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας, τῇ σαρκὶ σαββατίσας· καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθὼν διὰ τῆς ἀναστάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὕα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται καὶ ἡμεῖς ἐζωοποιήθημεν. Διὸ ἀνυμνοῦντες, βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Δοξολογία μεγάλη.

Μετὰ τὸ ᾀσματικόν, Ἅγιος ὁ Θεός, ψάλλεται ὑπὸ τῶν χορῶν τὸ ἑπόμενον τροπάριον κατὰ τὴν ἔξοδον(*) τοῦ Ἐπιτα-

(*) Ἡ ἔξοδος καὶ ἡ ἐπάνοδος τοῦ Ἐπιταφίου ἐν τῇ Μ. Ἐκκλησίᾳ γίνεται κατὰ τὴν ἑξῆς τάξιν: Προηγοῦνται οἱ φανοὶ καὶ τὰ ἑξαπτέρυγα, τούτοις ἕπεται ὁ Σταυρός, αἰρόμενος ὑπὸ ἱερέως, φαινόλην ἐνδεδυμένου μετὰ ἐπιτραχηλίου· εἶτα ἀκολουθοῦσιν οἱ χοροὶ τῶν ψαλτῶν, μετ' αὐτοὺς ἔρχονται οἱ ἱερεῖς, ἐν οἷς ὁ Μ. ἀρχιμανδρίτης φέρει τὸ ἱερὸν Εὐαγγέλιον. Μετ' αὐτοὺς ὁ πατριάρχης καὶ οἱ ἅγιοι ἀρχιερεῖς, ὧν 4 ἢ 6 αἴρουσι τὸν Ἐπιτάφιον, ἀκολουθεῖ δ' ὁ λαὸς μετὰ λαμπάδων. Εἰς τέσσαρα δὲ διάφορα μέρη γίνονται τέσσαρες αἰτήσεις, ὧν τὰς ἐκφωνήσεις ποιοῖ ὁ πατριάρχης· ἡ πρώτη ὑπὲρ τοῦ πατριάρχου καὶ τῶν ἀρχιερέων, τῶν ἐνδημούντων καὶ τῶν ἀποδημούντων ἐν ταῖς ἐπαρχίαις αὐτῶν· ἡ β' ὑπὲρ ὑγείας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δωρητῶν καὶ εὐεργετῶν τῶν φιλανθρωπικῶν καταστημάτων· ἡ γ' ὑπὲρ τοῦ κραταιοτάτου ἄνακτος μετὰ τῆς παρούσης εὐχῆς·

Οἰκτίρμον, εὔσπλαγχνε καὶ ἐλεῆμον Θεέ, Θεὲ τῶν πατέρων ἡμῶν, βασιλεῦ τῶν βασιλευόντων καὶ Κύριε τῶν κυριευόντων, Σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν Ἅγιε ἁγίων, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

φίου, φερομένου ἐπὶ κεφαλῆς ὑπὸ τῶν ἱερέων καὶ περιαγομένου μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου.

---

ἐπίσκεψαι τὴν Α. Α. Μεγαλειότητα τὸν αὐτοκράτορα καὶ βασιλέα ἡμῶν Σουλτὰν Ἀπδοὺλ Χαμὶτ Χὰν ἐφέντην ἡμῶν· περίβαλε αὐτὸν διὰ τῆς θεϊκῆς σου χάριτος· ἐνίσχυσον αὐτὸν ἐν τῇ βασιλικῇ αὐτοῦ διακονίᾳ· ἔμπνευσον ἐν τῇ καρδίᾳ αὐτοῦ ἀγαθὰ ὑπὲρ τῶν λαῶν αὐτοῦ, τῶν ὄντων πλάσμα τῆς παντοδυναμίας Σου· ὅτι ἐδικαίωσας αὐτὸν βασιλεύειν ἐπ᾽ αὐτῶν. Χάρισαι αὐτῷ ὑγείαν ἰσχυρὰν, ἀπάλλαξον αὐτὸν ἀπὸ πάσης ἐπηρείας ἀντικειμένης, ἵνα ἐν τῷ ὀνόματι τῷ Σῷ, ἐν τῇ ἀπὸ τοῦ θρόνου τῆς δόξης Σου ἐκπορευομένῃ δικαιοσύνῃ διοικῶσιν οἱ ὑπ᾽ αὐτοῦ ἐντεταλμένοι τοὺς ὑπὸ τὰ αὐτοκρατορικὰ αὐτοῦ σκῆπτρα διατελοῦντας λαοὺς, ὡς τὸ θέλημα τὸ Σὸν, τὸ ἅγιον, τὸ πανάγιον, ἐπιτάσσει βασιλεῦσιν, ἡγεμόσι καὶ ἄρχουσι καὶ διοικηταῖς, ἵνα καὶ αὐτοὶ ἤρεμον καὶ ἡσύχιον βίον διάγοντες δοξάζωσι τὸ πανάγιον ὄνομά Σου, διατελῶσι δὲ πιστοὶ καὶ ἀφωσιωμένοι ὑπήκοοι τῷ βασιλεῖ καὶ σουλτάνῳ αὐτῶν. Ἐπάκουσον ἡμῶν, Βασιλεῦ αἰώνιε καὶ σῶζε τὸν σουλτάνον βασιλέα ἡμῶν Ἀπδοὺλ Χαμὶτ Χὰν ἐφέντην ἡμῶν. Ἀμήν.

Καὶ ἡ δ' γινομένη πρὸ τῆς εἰσόδου τοῦ ἱεροῦ ναοῦ ὑπὲρ τῶν ἀοιδίμων κτιτόρων αὐτοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἦχος πλ. α'.

Τὸν ἥλιον κρύψαντα τὰς ἰδίας ἀκτῖνας, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ διαρραγὲν, τῷ τοῦ Σωτῆρος θανάτῳ, ὁ Ἰωσὴφ θεασάμενος, προσῆλθε τῷ Πιλάτῳ καὶ καθικετεύει λέγων· Δός μοι τοῦτον τὸν ξένον, τὸν ἐκ βρέφους ὡς ξένον ξενωθέντα ἐν κόσμῳ· δός μοι τοῦτον τὸν ξένον, ὃν ὁμόφυλοι μισοῦντες θανατοῦσιν ὡς ξένον· δός μοι τοῦτον τὸν ξένον, ὃν ξενίζομαι βλέπειν τοῦ θανάτου τὸν ξένον· δός μοι τοῦτον τὸν ξένον, ὅστις οἶδε ξενίζειν τοὺς πτωχούς τε καὶ ξένους· δός μοι τοῦτον τὸν ξένον, ὃν ἑβραῖοι τῷ φθόνῳ ἀπεξένωσαν κόσμῳ· δός μοι τοῦτον τὸν ξένον, ἵνα κρύψω ἐν τάφῳ, ὃς ὡς ξένος οὐκ ἔχει τὴν κεφαλὴν ποῦ κλῖναι· δός μοι τοῦτον τὸν ξένον, ὃν ἡ Μήτηρ καθορῶσα νεκρωθέντα ἐβόα· Ὦ Υἱὲ καὶ Θεέ μου, εἰ καὶ τὰ σπλάγχνα τιτρώσκομαι, καὶ καρδίαν σπαράττομαι, νεκρόν σε καθορῶσα, ἀλλὰ τῇ σῇ ἀναστάσει θαρροῦσα μεγαλύνω. Καὶ τούτοις τοίνυν τοῖς λόγοις δυσωπῶν τὸν Πιλᾶτον ὁ εὐσχήμων λαμβάνει τοῦ Σωτῆρος τὸ σῶμα, ὃ καὶ φόβῳ ἐν σινδόνι ἐνειλήσας καὶ σμύρνῃ, κατέθετο ἐν τάφῳ τὸν παρέχοντα πᾶσι ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Ἐπανελθούσης τῆς ἱερᾶς πομπῆς εἰς τὸν ναὸν, ὁ προεστὼς εἰσέρχεται μετὰ τῆς συνοδείας αὐτοῦ εἰς τὸ ἱερὸν καὶ εὐθὺς ἐκφωνεῖ· **Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία.** Εἶτα ψάλλει τὸ ἀπολυτίκιον· **Ὅτε κατῆλθες πρὸς τὸν θάνατον,** καὶ θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν προπορευόμενος ἔμπροσθεν τοῦ Ἐπιταφίου, ἀκολούθως, **Ταῖς μυροφόροις γυναιξὶ**καὶ, **Ὁ εὐσχήμων Ἰωσὴφ** μέχρι τοῦ, ἀπέθετο, καὶ τιθέασιν οἱ ἱερεῖς τὸν Ἐπιτάφιον ἐπὶ τῆς ἁγίας Τραπέζης, ὁ δὲ ἀναγνώστης ἔξωθεν ἀναγινώσκει τὸ, **Τροπάριον τῆς προφητείας. Ἦχος β'.**

Ὁ συνέχων τὰ πέρατα τάφῳ συσχεθῆναι κατεδέξω, Χριστὲ, ἵνα τῆς τοῦ ᾅδου καταπτώσεως λυτρώσῃς τὸ ἀν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

θρώπινον, καὶ ἀθανατίσας, ζωώσης ἡμᾶς, ὡς Θεὸς ἀθάνατος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ ἀθανατίσας, ζωώσης ἡμᾶς, ὡς Θεὸς ἀθάνατος.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ συνέχων τὰ πέρατα κτλ.

Προκείμενον ἦχος δ'. Ψαλμὸς 43.

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Στίχος. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

(Κεφ. ΛΖ'. 1).

Ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου καὶ ἐξήγαγέ με ἐν πνεύματι Κυρίου, καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου· καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων· καὶ περιήγαγέ με ἐπ' αὐτὰ κύκλωθεν κύκλῳ· καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, καὶ ἰδοὺ ξηρὰ σφόδρα. Καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστᾶ ταῦτα; Καὶ εἶπα· Κύριε, Κύριε, σὺ ἐπίστασαι ταῦτα. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὰ ὀστέα ταῦτα καὶ ἐρεῖς αὐτοῖς· Τὰ ὀστᾶ τὰ ξηρὰ, ἀκούσατε λόγον Κυρίου· Τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις· Ἰδοὺ ἐγὼ φέρω εἰς ὑμᾶς πνεῦμα ζωῆς, καὶ δώσω εἰς ὑμᾶς νεῦρα, καὶ ἀνάξω εἰς ὑμᾶς σάρκας, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος. Καὶ προεφήτευσα, καθὼς ἐνετείλατό μοι Κύριος. Καὶ ἐγένετο φωνὴ ἐν τῷ ἐμὲ προφητεῦσαι· καὶ ἰδοὺ σεισμὸς καὶ προσήγαγε τὰ ὀστᾶ, ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. Καὶ εἶδον· Καὶ ἰδοὺ ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν ἐπ' αὐτὰ δέρμα ἐπάνω· καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὸ πνεῦμα, υἱὲ ἀνθρώπου, προφήτευσον καὶ εἰπὲ τῷ πνεύματι· Τάδε λέγει Κύριος Κύριος· Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ, καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους καὶ ζησά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τωσαν. Καὶ προεφήτευσα, καθ' ὅ,τι ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν, καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα. Καὶ ἐλάλησε Κύριος πρός με λέγων· Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν. Αὐτοὶ λέγουσι· Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. Διὰ τοῦτο προφήτευσον καὶ εἰπὲ πρὸς αὐτούς· Τάδε λέγει Κύριος, Κύριος· Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν Ἰσραήλ· καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν, τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου· καὶ δώσω τὸ πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος· ἐλάλησα καὶ ποιήσω, λέγει Κύριος Κύριος.

**Ὁ Ἀπόστολος.**

Προκείμενον ἦχος βαρύς.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.
(Κεφ. Ε'. 6).

Ἀδελφοί, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας (Γαλάτ. Γ'. 13). Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γάρ· «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου» ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἀλληλούϊα. Ἦχος πλ. α'.

**Α**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στίχος. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχος. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήσονται.

Εὐαγγέλιον.

Σοφία ὀρθοὶ κτλ.

## ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΖ'. 62—66).

**Τ**ῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς Πιλᾶτον λέγοντες· κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσι τῷ λαῷ, ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη αὐτοῖς ὁ Πιλᾶτος· ἔχετε κουστωδίαν· ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας. (*)

Ἐκτενής· Εἴπωμεν πάντες. Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν. Ἐκφώνησις· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν κτλ. Καὶ ἀπόλυσις. (**) Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ δι'

(*) Μετὰ τό, **Εἰς πολλὰ ἔτη,** ὁ πατριάρχης ἐκδύεται τὴν ἀρχιερατικὴν στολήν, ἐνδύεται τὸν μανδύαν καὶ κρατῶν τὴν ποιμαντορικὴν ράβδον ἐξέρχεται τοῦ ἱεροῦ βήματος καὶ ἵσταται εἰς τὸν θρόνον. Ἐν τῷ μεταξὺ τούτῳ ὁ ἀρχιδιάκονος λέγει τὴν ἐκτενῆ.

(**) Ἂν ὁ Ὄρθρος τοῦ Ἐπιταφίου ψάλληται τῇ α' ὥρᾳ τῆς νυκτὸς (ἀφ' ἑσπέρας), ὅτε ὁ Ἑσπερινὸς καὶ ἡ Λειτουργία οὐ συνεχίζονται τῷ Ὄρθρῳ, ὁ πατριάρχης οὐκ ἐκδύεται τὴν ἀρχιερατικὴν στολήν, ἀλλὰ μένει ἐν τῷ ἱερῷ μέχρι τέλους καὶ ποιεῖ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν Σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν κτλ.

Δι' εὐχῶν κτλ.

---

## ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Ἀμέσως μετὰ τὴν ἀπόλυσιν τοῦ Ὄρθρου ἄρχεται ὁ Ἑσπερινὸς μετὰ τῆς λειτουργίας τοῦ Μεγάλου Βασιλείου. Ὁ ἱερεύς· **Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς** κτλ. Εἶτα ἀναγινώσκεται ὁ προοιμιακός· εἰς δὲ τό, **Κύριε ἐκέκραξα,** ψάλλομεν στιχηρὰ ἀναστάσιμα τέσσαρα καὶ τρία ἰδιόμελα τῆς ἡμέρας, δευτεροῦντες τὸ πρῶτον.

Στιχηρὰ ἀναστάσιμα. Ἦχος α'.

Στίχος α'. Ἐκ βαθέων κτλ.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς πρόσδεξαι, Ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας ἐν κόσμῳ τὴν ἀνάστασιν.

Στίχος β'. Γενηθήτω τὰ ὦτά σου κτλ.

Κυκλώσατε, λαοί, Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ τῷ ἀναστάντι ἐκ νεκρῶν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Στίχος γ'. Ἐὰν ἀνομίας κτλ.

Δεῦτε, λαοί, ὑμνήσωμεν καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τὸν κόσμον λυτρωσάμενος.

---

μόνος τὴν ἀπόλυσιν τοῦ Ὄρθρου. Περὶ δὲ τὴν ια' τῆς πρωΐας ἄρχεται ὁ Ἑσπερινὸς καὶ ἡ Λειτουργία τοῦ Μ. Σαββάτου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος δ'. Ἕνεκεν τοῦ ὀνόματός σου.

Τῷ πάθει σου, Χριστὲ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν. Κύριε, δόξα σοι.

Στιχηρὰ ἰδιόμελα. Ἦχος πλ. δ'.

Στίχος ε'. Ἀπὸ φυλακῆς κτλ.

Στίχος ς'. Ὅτι παρὰ τῷ Κυρίῳ κτλ.

Σήμερον ὁ ᾅδης στένων βοᾷ· Συνέφερέ μοι, εἰς τὸν ἐκ Μαρίας γεννηθέντα μὴ ὑπεδεξάμην· ἐλθὼν γὰρ ἐπ' ἐμὲ, τὸ κράτος μου ἔλυσε· πύλας χαλκᾶς συνέτριψε· ψυχὰς, ἃς κατεῖχον τὸ πρὶν, Θεὸς ὢν ἀνέστησε· Δόξα, Κύριε, τῷ Σταυρῷ σου καὶ τῇ ἀναστάσει σου. (Δίς).

Στίχος ζ'. Αἰνεῖτε τὸν Κύριον κτλ.

Σήμερον ὁ ᾅδης στένων βοᾷ· Κατελύθη μου ἡ ἐξουσία· ἐδεξάμην θνητὸν, ὥσπερ ἕνα τῶν θανόντων· τοῦτον δὲ κατέχειν ὅλως οὐκ ἰσχύω, ἀλλ' ἀπολῶ μετὰ τούτου ὧν ἐβασίλευον· ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος, ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει. Δόξα, Κύριε, τῷ Σταυρῷ σου καὶ τῇ ἀναστάσει σου.

Στίχος η'. Ὅτι ἐκραταιώθη κτλ.

Σήμερον ὁ ᾅδης στένων βοᾷ· Κατεπόθη μου τὸ κράτος· ὁ ποιμὴν ἐσταυρώθη, καὶ τὸν Ἀδὰμ ἀνέστησεν· ὧν περ ἐβασίλευον ἐστέρημαι, καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα· ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς· οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος. Δόξα, Κύριε, τῷ Σταυρῷ σου καὶ τῇ ἀναστάσει σου.

Δόξα. Ἦχος πλ. β'

Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωϋσῆς προδιετυποῦτο, λέγων· Καὶ ηὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην· τοῦτο γάρ ἐστι τὸ εὐλογημένον Σάββατον· αὕτη ἐστὶν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

οἰκονομίας τῇ σαρκὶ σαββατίσας· καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθὼν διὰ τῆς ἀναστάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν. Θεοτόκιον. Ἦχος α'.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν καὶ τὸν δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς καὶ ναὸς τῆς θεότητος· αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς παντοδύναμος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου· τὸ **Φῶς ἱλαρόν**, καὶ εὐθὺς τὰ ἀναγνώσματα.

Γενέσεως τὸ ἀνάγνωσμα.

(Κεφ. Α'. 1).

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ μὲν φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ἐπάνω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

δευτέρα. Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτω. Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτω. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ γῆς· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Προφητείας Ἰωνᾶ τὸ ἀνάγνωσμα.

(Κεφ. Α'. 1).

Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων· ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευῒ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσεῖς ἐκ προσώπου Κυρίου· καὶ κατέβη εἰς Ἰόππην, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεῖς, καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσεῖς ἐκ προσώπου Κυρίου. Καὶ Κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν· καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευσε τοῦ συντριβῆναι. Καὶ ἐφοβήθησαν οἱ ναυτικοί, καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν Θεὸν αὐτοῦ· καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοιλίαν τοῦ πλοίου, καὶ ἐκάθευδε καὶ ἔρεγχε. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ· τί σὺ ῥέγχεις; ἀνάστα καὶ ἐπικαλοῦ τὸν Θεόν σου, εἴ πως διασώσῃ ὁ Θεὸς ἡμᾶς καὶ οὐ μὴ ἀπολώμεθα. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· δεῦτε βάλωμεν κλήρον καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

αὕτη ἐστὶν ἐφ' ἡμᾶς. Καὶ ἔβαλον κλήρους· καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν. Καὶ εἶπον πρὸς αὐτόν· ἀπάγγειλον ἡμῖν τίνος ἕνεκεν τὸ κακὸν τοῦτο ἐν ἡμῖν; τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Καὶ εἶπε πρὸς αὐτούς· δοῦλος Κυρίου εἰμὶ ἐγώ, καὶ Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν, καὶ εἶπον πρὸς αὐτόν· τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς. Καὶ εἶπον πρὸς αὐτόν· τί ποιήσομέν σοι, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· Ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγώ, ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστι. Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. Καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπον· μηδαμῶς, Κύριε· μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου, πεποίηκας. Καὶ ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐνέβαλον αὐτὸν εἰς τὴν θάλασσαν. Καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον, καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ, καὶ ηὔξαντο τὰς εὐχάς. Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους καὶ εἶπεν· «ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Κἀγὼ εἶπον· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρός σε, Κύριε ὁ Θεός μου. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου. Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι· ὅσα ηὐξάμην, ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ». Καὶ προσέταξε Κύριος τῷ κήτει· καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὶ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ ῥῆμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρὸς σέ. Καὶ ἀνέστη Ἰωνᾶς καὶ ἐπορεύθη εἰς Νινευί, καθὰ ἐλάλησεν αὐτῷ Κύριος. Ἡ δὲ Νινευὶ ἦν πόλις μεγάλη τῷ Θεῷ, ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν, ὡσεὶ πορείαν ἡμέρας μιᾶς, καὶ ἐκήρυξε καὶ εἶπεν· ἔτι τρεῖς ἡμέρας καὶ Νινευὶ καταστραφήσεται. Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὶ τῷ Θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευί, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευὶ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ, λεγόντων· οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν, μηδὲ νεμέσθωσαν, μηδὲ ὕδωρ πιέτωσαν. Καὶ περιεβάλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς καὶ ἀπὸ ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν, λέγοντες· τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς καὶ παρακληθήσεται καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

(Κεφ. Δ'. 1). Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνεχύθη καὶ προσηύξατο πρὸς Κύριον, καὶ εἶπεν· «Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου ἔτι ὄντος μου ἐν τῇ γῇ; Διὰ τοῦτο προέφαθσα τοῦ φυγεῖν εἰς Θαρσίς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων εἶ καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ κακίαις. Καὶ νῦν, Δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με μᾶλλον ἢ ζῆν με». Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σύ; Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως, καὶ ἐποίησεν ἑαυτῷ σκηνήν, καὶ ἐκάθητο ὑποκάτω αὐτῆς ἐν σκιᾷ, ἕως οὗ ἐπίδῃ τί ἔσται τῇ πόλει. Καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς Ἰωνᾶ τοῦ εἶναι ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. Καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθην, καὶ ἐξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνι συγκαίοντι· καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ· καὶ ὠλιγοψύχησε, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ καὶ εἶπε· καλόν μοι ἀποθανεῖν με ἢ ζῆν με. Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; Καὶ εἶπε· σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. Καὶ εἶπε Κύριος· σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας αὐτήν, ἣ ἐγεννήθη ὑπὸ νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὶ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά.

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα.

(Κεφ. Γ'. 1).

Ἔτους ὀκτωκαιδεκάτου, Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν· ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεηρᾶ, ἐν χώρᾳ Βαβυλῶνος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ' ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ' ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος. Καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύι· ὑμῖν λέγεται ἔθνη, λαοί, φυλαὶ καὶ γλῶσσαι· ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικοῦ, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ ἐγένετο, ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικοῦ, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Τότε προσῆλθον ἄνδρες χαλδαῖοι καὶ διέβαλον τοὺς ἰουδαίους, καὶ ὑπολαβόντες, εἶπον Ναβουχοδονόσορ τῷ βασιλεῖ· βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· σύ, βασιλεῦ, ἔθηκας δόγμα, πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Εἰσὶν οὖν ἄνδρες ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, οἱ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦσι. Τότε ὁ Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ· καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως· καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· εἰ ἀληθῶς, Σεδράχ, Μισὰχ καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἀβδεναγὼ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; Νῦν οὖν ἔχετε ἑτοίμως, ἵνα, ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστι θεὸς, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; Ἀπεκρίθησαν Σεδρὰχ, Μισὰχ καὶ Ἀβδεναγὼ, λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ρήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ρύσεται ἡμᾶς· καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Τότε ὁ Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδρὰχ, Μισὰχ καὶ Ἀβδεναγὼ· καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε πεδήσαντας τὸν Σεδρὰχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν, καὶ τιάραις καὶ περικνημῖσι, τοῖς ἐνδύμασιν αὐτῶν, καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ρῆμα τοῦ βασιλέως ὑπερίσχυσε· καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ ἑπταπλασίως. Καὶ οἱ τρεῖς οὗτοι Σεδρὰχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἔπεσον ἐν μέσῳ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι, καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς, ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον. Καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτω, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν τῷ μέσῳ τοῦ πυρὸς, εἶπεν· «Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς· καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν· ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν, καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου· οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος· ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν· ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτελείσθω ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. Καὶ νῦν ἐξακολουθοῦμέν σοι ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. Καὶ ἐντραπείησαν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην». Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθῃ καὶ πίσσῃ καὶ στυππίῳ καὶ κληματίδι. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα· καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν χαλδαίων. Ὁ δὲ Ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς. Τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες· «Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· καὶ εὐλογημένον τῆς δόξης σου τὸ ὄνομα τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας».

Ἀνιστάμενοι δὲ ἐνταῦθα ψάλλομεν εἰς ἦχον πρῶτον

Τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἶτα ὁ μὲν ἀναγνώστης λέγει τὰ ἑπόμενα τοῦ ὕμνου, ἡμεῖς δὲ μεθ' ἕνα ἕκαστον τῶν στίχων αὐτοῦ ψάλλομεν· **Τὸν Κύριον ὑμνεῖτε, ὡς ἕπεται.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΥΜΝΟΣ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν Κύριον ὑμνεῖτε, κλπ.

Εὐλογεῖτε Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ Δυνάμεις Κυρίου τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸνΚύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε δρόσος καὶ νιφετὸς, πάγος καὶ ψῦχος, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε γῆ, ὄρη καὶ βουνοὶ καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε πηγαὶ, θάλασσα καὶ ποταμοὶ, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογεῖτε ἀπόστολοι, προφῆται καὶ μάρτυρες Κυρίου τὸν Κύριον.

Τὸν Κύριον ὑμνεῖτε.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα.

Τὸν Κύριον ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Τὸν Κύριον ὑμνοῦμεν καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Μετὰ τὸ τέλος τῶν στίχων εὐθύς· **Τοῦ Κυρίου δεηθῶμεν.** Ἐκφώνησις, **Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.** Καὶ μετ' αὐτὴν, ἀντὶ τοῦ Τρισαγίου

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος πλ. α'.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. ΣΤ΄. 3).

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ· εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτούς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

**Ἀλληλούϊα** δὲ οὐ λέγομεν, ἀλλ᾽ εὐθὺς ψάλλει ὁ ἱερουργῶν ἱερεὺς τὸν παρόντα στίχον τοῦ ΠΑ΄ ψαλμοῦ εἰς ἦχον βαρύν, σκορπίζων ἅμα δάφνας ἐν τῷ ἱερῷ ναῷ.

**Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν· ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.**

Τὸν αὐτὸν ψάλλομεν καὶ ἐν ἑνὶ ἑκάστῳ τῶν ἑπομένων στίχων τοῦ ΠΑ΄ ψαλμοῦ, λεγομένων χῦμα·

Στίχος. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν κτλ.

Στίχος. Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος. Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν.

Στίχος. Ἐξέλεσθε πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ρύσασθε αὐτόν.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν.

Στίχος. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν.

Στίχος. Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν.

Καὶ εὐθὺς ἀναγινώσκεται τὸ ἱερὸν Εὐαγγέλιον.

## Εὐαγγέλιον.

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΗ΄. 1—20).

Ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· Ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ Ἄγγελος εἶπε ταῖς γυναιξί· μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ καθὼς εἶπε· Δεῦτε ἴδετε τὸν τόπον, ὅπου ἔκειτο ὁ Κύριος. Καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ εἶπον ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

μείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ μὲ ὄψονται. Πορευομένων δὲ αὐτῶν ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων συμβούλιόν τε λαβόντες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις λέγοντες· εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. Οἱ δὲ λαβόντες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Ἀντὶ δὲ τοῦ χερουβικοῦ τὸ παρὸν

Τροπάριον. Ἦχος πλ. α'.

Σιγησάτω πᾶσα σὰρξ βροτεία καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήινον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων προσέρχεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν Ἀγγέλων μετὰ πάσης Ἀρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

χῆς καὶ Ἐξουσίας, (*) τὰ πολυόμματα Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, τὰς ὄψεις καλύπτοντα καὶ βοῶντα τὸν ὕμνον· Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Κοινωνικόν. Ἦχος δ'.

Ἐξηγέρθη, ὡς ὁ ὑπνῶν, Κύριος· καὶ ἀνέστη σώζων ἡμᾶς. Ἀλληλούϊα.

Ἀντὶ δὲ τοῦ, Εἴδομεν τὸ φῶς, λέγεται τὸ παρὸν εἰς ἦχον β' εἱρμολογικῶς.

Μνήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Εἶτα τὸ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, καὶ ἡ ἀπόλυσις μετὰ τοῦ, Ὁ ἀναστὰς ἐκ νεκρῶν.

---

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ

# ΤΟΥ ΠΑΣΧΑ

## ΕΝ ΤΩ ΟΡΘΡΩ ΚΑΙ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

### ΕΝ ΤΩ ΟΡΘΡΩ

Περὶ ὥραν πέμπτην τῆς νυκτὸς, ποιεῖ Εὐλογητὸν ὁ ἱερεύς· Δόξα σοι ὁ Θεός. Βασιλεῦ οὐράνιε. Τρισάγιον. Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ'. ὁ Ν'. (σελ. 17). Εἶτα ὁ κανὼν, Κύματι θαλάσσης (σελ. 254), τοῦ Καθίσματος οὐ ψαλλομένου μετὰ τὴν Γ' ᾠδήν. Μετὰ δὲ τὴν Θ' ᾠδὴν τοῦ κανόνος ἔνδον τοῦ ἱεροῦ βήματος τὸ Τρισάγιον, τὸ, Ὅτε κατ-

(*) Ἐνταῦθα γίνεται ἡ μεγάλη εἴσοδος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἦλθες πρὸς τὸν θάνατον, Ἐκτενὴς καὶ ἀπόλυσις(*) μετὰ τοῦ, Ὁ ἀναστὰς ἐκ νεκρῶν.

Εἶτα ὁ προεστὼς προέρχεται τῆς ὡραίας πύλης, κρατῶν λαμπάδα ἀναφθεῖσαν ἐκ τῆς ἀκοιμήτου κανδήλας τῆς πρὸ τῆς ἁγίας Τραπέζης καὶ προσκαλεῖ τὸν λαόν, ἵνα ἀνάψωσι τὰς λαμπάδας αὐτῶν, ψάλλων εἰς ἦχον πλ. α' τό,

**Δεῦτε λάβετε φῶς ἐκ τοῦ ἀνεσπέρου φωτός, καὶ δοξάσατε Χριστὸν, τὸν ἀναστάντα ἐκ νεκρῶν.**

Μετὰ ταῦτα ἐξερχόμεθα τοῦ ἱεροῦ ναοῦ, ψάλλοντες τὸ ἑπόμενον τροπάριον. Ἦχος πλ. β'.

Τὴν ἀνάστασίν σου, Χριστὲ Σωτὴρ, Ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς, καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

Ἀφοῦ δὲ φθάσωμεν εἰς τὸν ὡρισμένον τόπον, ἀναγινώσκει ὁ προεστὼς τὸ Εὐαγγέλιον τοῦ ὄρθρου.

---

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ σημαίνει τὴν πέμπτην ὥραν τῆς νυκτός· μετὰ ἡμίσειαν ὥραν, κατελθόντος τοῦ πατριάρχου εἰς τὸν ναόν, εἰς τὸ **εἰς πολλὰ ἔτη δέσποτα** οἱ λειτουργήσοντες ἱερεῖς καὶ διάκον ι λαμβάνουσι καιρόν, εἰς δὲ τὴν Δ' Ὠδὴν τοῦ κανόνος ἐξέρχονται τοῦ ἱεροῦ βήματος οἱ διάκονοι ἐνδεδυμένοι, μετὰ δικηροτρικήρων, ὁ δὲ πατριάρχης, προσκυνήσας τὰς ἁγίας εἰκόνας καὶ ἑτοιμασθεὶς ὡς συνήθως διὰ τὴν λειτουργίαν, εἰσέρχεται εἰς τὸ ἱερὸν βῆμα, καὶ ἐνδύεται ἅπασαν τὴν ὀρχιερατικὴν αὐτοῦ στολὴν, ὡς καὶ πάντες οἱ ἅγιοι ἀρχιερεῖς. Μετὰ δὲ τὸ **Δεῦτε λάβετε φῶς** ἡγουμένων τῶν φανῶν, τῶν ἑξαπτερύγων, τῶν ψαλτῶν καὶ τοῦ ἱεροῦ κλήρου ἐξέρχεται ὁ πατριάρχης μετὰ τῶν ἀρχιερέων καὶ τῶν ὀφφικιάλων εἰς τὴν πατριαρχικὴν αὐλὴν, ἐν ᾗ ηὐτρέπισται ἐξέδρα καὶ ἀνέρχεται ἐπ' αὐτῆς μετὰ παντὸς τοῦ ἱεροῦ κλήρου. Ὁ ἀρχιδιάκονος ἐκφωνεῖ· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς, καὶ ὁ πατριάρχης ἀναγινώσκει τὸ Εὐαγγέλιον **Ὀψὲ σαββάτων.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## Εὐαγγέλιον.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κτλ.

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

(ΚΕΦ. ΚΗ΄. 1—10 καὶ 16—20).

Ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· Ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θυρας καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ Ἄγγελος εἶπε ταῖς γυναιξί· μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ καθὼς εἶπε· Δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος. Καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ εἶπον ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε. Ὑπάγετε ἀναγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα θυμιᾷ τρὶς τὸ ἱερὸν Εὐαγγέλιον καὶ ἐκφωνήσας·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

Ψάλλει τρὶς τὸ ἑπόμενον τροπάριον·

Ἦχος πλ. α'.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Τὸ αὐτὸ ψάλλεται ἑξάκις ὑπὸ τῶν δύο χορῶν μετὰ τῶν ἑπομένων στίχων, λεγομένων ὑπὸ τοῦ προεστῶτος, θυμιῶντος περὶ τὸ τρισκέλιον, ἐφ' οὗ κεῖται τὸ ἱερὸν Εὐαγγέλιον.

Στίχος α'. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στίχος β'. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχος γ'. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Στίχος δ'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Δόξα.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Καὶ νῦν.

Τὸ αὐτὸ καὶ πάλιν. (*)

---

(*) Ψάλλων ὁ πατριάχχης τὸ τελευταῖον **Χριστὸς ἀνέστη** θυμιᾷ τοὺς ἀρχιερεῖς καὶ λοιπούς, ὁ δὲ Μ. ἀρχιδιάκονος λέγει τὴν μεγάλην συναπτήν, ὁ πατριάρχης τὴν ἐκφώνησιν· καὶ οὕτω, εἰσερχόμεθα εἰς τὸν ναὸν μετὰ τῆς αὐτῆς παρατάξεως, τοῦ πατριάρχου ἀρχομένου ψάλλειν τὸν κανόνα, **Ἀναστάσεως ἡμέρα** μετὰ τῶν ἁγίων ἀρχιερέων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Συναπτὴ μεγάλη καὶ ἡ ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα κτλ. οὕτω δὲ εἰσερχόμεθα εἰς τὸν ναόν, ψάλλοντες τὸν παρόντα κανόνα.

Ὠδὴ Α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

» Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί· Πάσχα Κυρίου
» πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς πρὸς
» οὐρανόν, Χριστὸς ὁ Θεὸς ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδον-
» τας». (Δίς).

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα καὶ χαίρετε φάσκοντα τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες. (Δίς).

Δόξα καὶ νῦν.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται εὐφροσύνη αἰώνιος. (Δίς).

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Εἶτα τό, Χριστὸς ἀνέστη, τρίς.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ταῦτα λέγονται μεθ᾽ ἑκάστην Ὠδήν.

Αἴτησις καὶ ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος κτλ.

Ὠδὴ Γ΄. Ὁ Εἱρμός.

» Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερα-
» τουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγὴν ἐκ τάφου ὀμβρή-
» σαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα». (Δίς).

Δόξα τῇ ἁγίᾳ.

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται. (Δίς).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα καὶ νῦν.

Χθὲς συνεθαπτόμην σοι, Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου. (Δίς).

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Αἴτησις καὶ ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ὑπακοή. Ἦχος δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; Βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱὸς τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

» Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακοὺμ, στήτω
» μεθ' ἡμῶν καὶ δεικνύτω φαεσφόρον Ἄγγελον, διαπρυ-
» σίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χρι-
» στὸς ὡς παντοδύναμος». (Δίς).

Δόξα τῇ ἁγίᾳ.

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδὺν πέφηνε Χριστός· ὡς βροτὸς δὲ, ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον πάσχα· καὶ ὡς Θεὸς ἀληθὴς τέλειος λέλεκται. Δόξα. (Δίς).

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν στέφανος χρηστὸς ἑκουσίως ὑπὲρ πάντων τέθυται, πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος. Καὶ νῦν.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ πρὸ τῆς σκιώδους κιβωτοῦ ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος τὴν τῶν συμβόλων



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἔκβασιν ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος. (Δίς).

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Αἴτησις καὶ ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις κτλ.

Ὠδὴ Ε'. Ὁ Εἱρμός.

» Ὀρθρίσωμεν ὄρθρου βαθέος καὶ ἀντὶ μύρου, τὸν ὕμνον
» προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα δικαιο
» σύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα». (Δίς).

Δόξα τῇ ἁγίᾳ.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι, δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο, Χριστὲ, ἀγαλλομένῳ ποδὶ, πάσχα κροτοῦντες αἰώνιον. (Δίς).

Δόξα καὶ νῦν.

Προσέλθωμεν λαμπαδηφόροι τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι, πάσχα Θεοῦ τὸ σωτήριον. (Δίς).

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Αἴτησις καὶ ἐκφώνησις· Ὅτι ἡγίασταί σου κτλ.

Ὠδὴ ΣΤ'. Ὁ Εἱρμός.

Δόξα τῇ ἁγίᾳ.

» Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας
» μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων, Χριστὲ, καὶ
» τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου. (Δίς).

Δόξα τῇ ἁγίᾳ.

Φυλάξας τὰ σήμαντρα σῶα, Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν παραδεισου τὰς πύλας. (Δίς).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Δόξα καὶ νῦν.

Σῶτέρ μου, τὸ ζῶν με καὶ ἄθυτον ἱερεῖον, ὡς Θεὸς, σεαυτὸν ἑκουσίως προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου. (Δίς).

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Αἴτησις καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς κτλ.

Κοντάκιον. Ἦχος πλ. δ'.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς, Χριστὲ ὁ Θεὸς, γυναιξὶ μυροφόροις φθεγξάμενος, χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν πρὸ ἡλίου ἥλιον, δύναντά ποτε ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν μυροφόροι κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων· Ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν σῶμα ζωηφόρον καὶ τεθαμμένον· σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ, κείμενον ἐν τῷ μνήματι· ἄγωμεν, σπεύσωμεν ὥσπερ οἱ μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημένῳ· καὶ κλαύσωμεν καὶ κράξωμεν· Ὦ δέσποτα, ἐξηγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Εἶτα τὸ Μηνολόγιον καὶ τὸ παρὸν ὑπόμνημα·

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτὴν τὴν ζωηφόρον ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχοι.

Χριστὸς κατελθὼν πρὸς πάλην ᾅδου μόνος,
λαβὼν ἀνῆλθε πολλὰ τῆς νίκης σκῦλα.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα λέγεται χῦμα ἐκ τρίτου, ἅπαξ ὑπὸ τοῦ πατριάρχου καὶ δὶς ὑπὸ τῶν ἀρχιερέων τό,

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ· διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος. (ἅπαξ).

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

» Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος, γενόμενος ἄνθρωπος,
» πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητὸν ἀφθαρσίας
» ἐνδύει εὐπρέπειαν· ὁ μόνος εὐλογητὸς τῶν πατέρων Θεὸς
» καὶ ὑπερένδοξος». (Δίς).

Δόξα τῇ ἁγίᾳ.

Γυναῖκες μετὰ μύρων θεόφρονες ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, καὶ πάσχα τὸ μυστικὸν σοῖς, Χριστέ, μαθηταῖς εὐηγγελίσαντο. (Δίς).

Δόξα.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν· καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Καὶ νῦν.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος αὕτη ἡ σωτήριος νύξ, καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

πριάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος.

Αἴτησις καὶ ἐκφώνησις· Εἴη τὸ κράτος κτλ.

Ὠδὴ Η΄. Ὁ Εἱρμός.

» Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν σαββάτων, ἡ » βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ καὶ πανήγυρίς ἐστι » πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας». (Δίς).

Δόξα τῇ ἁγίᾳ.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς Θεὸν εἰς τοὺς αἰῶνας. (Δίς).

Εὐλογοῦμεν Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, Σιών, καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Πάτερ παντοκράτωρ καὶ Λόγε καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Αὕτη ἡ κλητή.

Αἴτησις καὶ ἐκφώνησις· Ὅτι ηὐλόγηταί σου κτλ.

Εἶτα ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν· καὶ ψάλλεται ἡ Θ΄ ᾠδὴ μετὰ τῶν μεγαλυναρίων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ὠδὴ Θ΄. Ὁ Εἱρμός.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

» Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου
» ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου, Σιών· σὺ δέ,
» ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου».

Μεγάλυνον ψυχή μου τὸν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλὴμ κτλ.

Χριστὸς τὸ καινὸν πάσχα, τὸ ζωοδότον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν κόσμου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς· μεθ' ἡμῶν ἀψευδῶς γὰρ ἐπηγγείλω ἔσεσθαι μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Σήμερον πᾶσα κτίσις ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.

Ὢ θείας, ὢ φίλης κτλ.

Δόξα Πατρί.

Μεγάλυνον, ψυχή μου, τῆς τρισυποστάτου καὶ ἀδιαιρέτου θεότητος τὸ κράτος.

Ὢ πάσχα τὸ μέγα καὶ ἱερώτατον Χριστέ, ὢ σοφία καὶ Λόγε τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Καὶ νῦν.

Χαῖρε, Παρθένε, χαῖρε· χαῖρε εὐλογημένη· χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Ὢ πάσχα τὸ μέγα κτλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Καταβασία.

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου, Σιών· σὺ δέ, ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Τὸ Χριστὸς ἀνέστη τρίς. Τὸ Ἀναστὰς ὁ Ἰησοῦς ἅπαξ. Συναπτὴ μικρά. Αἴτησις καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι κτλ. Καὶ εὐθὺς τό,

Ἐξαποστειλάριον αὐτόμελον. Ἦχος β'.

Σαρκὶ ὑπνώσας, ὡς θνητός, ὁ βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, πάσχα τῆς ἀφθαρσίας τοῦ κόσμου σωτήριον. (Ἐκ τρίτου).

Εἰς τοὺς Αἴνους (*) ἱστῶμεν στίχους η', καὶ ψάλλομεν τὰ τέσσαρα πρῶτα ἀναστάσιμα τῶν αἴνων τοῦ α' ἤχου καὶ εἶτα τὰ στιχηρὰ τοῦ πάσχα μετὰ τῶν στίχων αὐτῶν.

Στίχος α'. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ὑμνοῦμέν σου, Χριστέ, τὸ σωτήριον πάθος καὶ δοξάζομέν σου τὴν ἀνάστασιν.

Στίχος β'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὁ Σταυρὸν ὑπομείνας καὶ τὸν θάνατον καταργήσας καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε, ὡς μόνος παντοδύναμος.

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ ψαλλομένου τοῦ, Αἰνεῖτε, ὁ Μ. ἐκκλησιάρχης λαμβάνει τὸ ἐγκόλπιον Εὐαγγέλιον ἐκ τῆς χειρὸς τοῦ πατριάρχου καὶ κρατεῖ αὐτό, ὅπως ἀσπασθῇ ὁ πατριάρχης· ἀσπασθεὶς δὲ πάλιν λαμβάνει αὐτό. Εἶτα οἱ ἅγιοι ἀρχιερεῖς ἀνὰ δύο προσερχόμενοι ἀσπάζονται τὸ ἱερὸν Εὐαγγέλιον καὶ τὴν δεξιὰν τοῦ πατριάρχου,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος γ'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὁ τὸν ᾅδην σκυλεύσας καὶ τὸν ἄνθρωπον ἀναστήσας τῇ ἀναστάσει σου, Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ ὑμνεῖν καὶ δοξάζειν σε.

Στίχος δ'. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε, Χριστέ. Ἐτέχθης ἐκ Παρθένου καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί· ἔπαθες ὡς ἄνθρωπος καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν· ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν κόσμον· Κύριε δόξα σοι.

Ἦχος πλ. α'.

Στίχος ε'. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· πάσχα καινὸν, ἅγιον, πάσχα μυστικόν· πάσχα πανσεβάσμιον· πάσχα Χριστὸς ὁ λυτρωτής· πάσχα ἄμωμον· πάσχα μέγα· πάσχα τῶν πιστῶν· πάσχα τὸ πύλας ἡμῖν τοῦ παραδείσου ἀνοῖξαν· πάσχα πάντας ἁγιάζον πιστούς.

Στίχος ς'. Ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια τῆς ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε καὶ ἀγάλλου, Ἱερουσαλὴμ, τὸν βασιλέα Χριστὸν θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος. ζ'. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Αἱ μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ ζωοδότου, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος αὐταῖς, οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς αὐτοῦ μαθηταῖς.

Στίχος η'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Πάσχα τὸ τερπνόν· πάσχα Κυρίου πάσχα· πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα· ὦ πάσχα λύτρον λύπης! καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστὸς, τὰ γύναια χαρᾶς ἔπλησε, λέγων· Κηρύξατε ἀποστόλοις.

Δόξα καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν, ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ ἀναστάσει καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἶτα τὸ, Χριστὸς ἀνέστη ἐκ γ'. Ἐν τῷ μεταξὺ τούτῳ γίνεται ὁ ἀσπασμὸς τοῦ ἁγίου Εὐαγγελίου.

---

## ΕΝ ΤΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Μετὰ τὴν ἐκφώνησιν Εὐλογημένη ἡ βασιλεία, ψάλλεται τὸ Χριστὸς ἀνέστη δεκάκις· τρὶς μὲν ἐν τῷ ἱερῷ βήματι παρὰ τοῦ ἱερέως, ἱσταμένου μετὰ θυμιατοῦ πρὸ τῆς ἁγίας Τραπέζης, ἑξάκις δὲ παρὰ τῶν χορῶν μετὰ τῶν στίχων, πραείᾳ τῇ φωνῇ λεγομένων παρὰ τοῦ ἱερέως. Καὶ εἰς μὲν τὸν α' στίχον,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἀναστήτω ὁ Θεὸς, ἵσταται ὁ ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης, εἰς δὲ τὸν β' στίχον, **Ὡς ἐκλείπει καπνὸς**, εἰς τὸ δεξιὸν μέρος αὐτῆς, εἰς τὸν γ' στίχον, **Οὕτως ἀπολοῦνται**, εἰς τὸ ἀπέναντι μέρος τῆς ἁγίας Τραπέζης, εἰς τὸν δ' στίχον, **Αὕτη ἡ ἡμέρα**, εἰς τὸ ἀριστερὸν μέρος αὐτῆς· εἰς τὸ, **Δόξα Πατρὶ**, ἀπέναντι τῆς προσκομιδῆς καὶ εἰς τὸ, **Καὶ νῦν**, αὖθις ἵσταται πρὸ τῆς ἁγίας Τραπέζης, ὅτε συμπληροῦται τὸ ἔννατον **Χριστὸς ἀνέστη**. Μετ' αὐτὸ τὸ δέκατον ψάλλει ὁ ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης μέχρι τοῦ, **καὶ τοῖς ἐν τοῖς μνήμασι**, ψαλλόντων δὲ τῶν χορῶν, **ζωὴν χαρισάμενος**, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν καὶ τὸν λαόν. Εἶτα ψάλλονται τὰ ἑπόμενα ἀντίφωνα.

Ἀντίφωνον α'.

### ΨΑΛΜΟΣ 65.

Στίχος α'. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχος β'. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

Ταῖς πρεσβείαις κτλ.

Στίχος γ'. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Ταῖς πρεσβείαις κτλ.

Στίχος δ'. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι· ψαλάτωσαν δὴ τῷ ὀνόματί σου Ὕψιστε.

Δόξα καὶ νῦν.

Ταῖς πρεσβείαις κτλ.

Ἀντίφωνον β'.

### ΨΑΛΜΟΣ 66.

Στίχος α'. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεῆσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχος β΄. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Σῶσον ἡμᾶς κτλ.

Στίχος γ΄. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Σῶσον ἡμᾶς κτλ.

Στίχος δ΄. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Σῶσον ἡμᾶς κτλ.

Δόξα καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι, ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι· σῶσον ἡμᾶς.

Ἀντίφωνον γ΄.

## ΨΑΛΜΟΣ 67.

Στίχος α΄. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Χριστὸς ἀνέστη.

Στίχος β΄. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Χριστὸς ἀνέστη.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Στίχος γ'. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Χριστὸς ἀνέστη.

Στίχος δ'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Χριστὸς ἀνέστη.

Μετὰ τὴν εἴσοδον, τὸ εἰσοδικόν·

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Καὶ εὐθὺς τὸ, Χριστὸς ἀνέστη τρὶς, τὴν Ὑπακοὴν, Προλαβοῦσαι τὸν ὄρθρον (σελ. 305) καὶ τὸ κοντάκιον, Εἰ καὶ ἐν τάφῳ (σελ. 307).

Ἀντὶ δὲ τοῦ τρισαγίου, τὸ,

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Ὁ Ἀπόστολος.

Προκείμενον ἦχος πλ. δ'.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Στίχος. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ ἀνάγνωσμα.

(Κεφ. Α'. 1—9).

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος Ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ συναλιζόμενος παρήγγειλεν αὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

τοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός, ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς.

Ἀλληλούϊα.

## Εὐαγγέλιον.

### ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ (ΚΕΦ. Α'. 1—17).

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Καὶ ἐφεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

Εἰς τό, Ἐξαιρέτως τό, Ὁ Ἄγγελος ἐβόα. Φωτίζου, φωτίζου (σελ. 310).

Κοινωνικόν.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε. Ἀλληλούϊα.

Ἀντὶ τοῦ, Εἴδομεν τὸ φῶς καὶ τοῦ, Εἴη τὸ ὄνομα Κυρίου, τό, Χριστὸς ἀνέστη.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, τὸ Χριστὸς ἀνέστη χῦμα τρίς. Εἶτα ἀναγινώσκεται ὑπὸ τοῦ ἀρχιερέως ἢ τοῦ προϊσταμένου ὁ ἑπόμενος

## ΚΑΤΗΧΗΤΙΚΟΣ ΛΟΓΟΣ

Ἰωάννου τοῦ Χρυσοστόμου.

Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης καὶ λαμπρᾶς πανηγύρεως. Εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴ τις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴ τις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω, μηδὲν ἐνδοιάζων. Εἴ τις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

κάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν· καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες μετ᾽ ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥάθυμοι τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς πίστεως. Πάντες ἀπολαύετε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς τοῦ Σωτῆρος ὁ θάνατος. Ἔσβεσεν αὐτὸν ὁ ὑπ᾽ αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν ᾅδην ὁ κατελθὼν εἰς τὸν ᾅδην. Ἐπίκρανεν αὐτὸν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν. «Ὁ ᾅδης, φησὶν, ἐπικράνθη, συναντήσας σοι κάτω». Ἐπικράνθη· καὶ γὰρ κατηργήθη. Ἐπικράνθη· καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη· καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη· καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη· καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ. Ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾅδη, τὸ νεῖκος; Ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστὸς, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Εἶτα τὸ ἀπολυτίκιον τοῦ ἱεροῦ Χρυσοστόμου.

Ἦχος πλ. δ'.

Η τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις τὴν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα, Εὐλογία Κυρίου· καὶ ἀπόλυσις (*) Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Ὁ ἀναστὰς ἐκ νεκρῶν κτλ. ἐκφωνοῦντος τοῦ ἱερέως εἰς τὸ τέλος Χριστὸς ἀνέστη τρίς, καὶ τοῦ λαοῦ ὡσαύτως ἀποκρινομένου τρίς, Ἀληθῶς ἀνέστη. Ὁ ἱερεύς, Δόξα τῇ αὐτοῦ τριημέρῳ ἐγέρσει. Ὁ λαός, Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν. Καὶ ἐπὶ τέλους τό, Χριστὸς ἀνέστη, ὁλόκληρον.

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ

## ΤΟΥ ΠΑΣΧΑ

### ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Περὶ ὥραν (**) τετάρτην τῆς ἡμέρας ὁ ἱερεὺς περιβληθεὶς

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ ὁ πατριάρχης ποιεῖ τὴν ἀπόλυσιν. Μετ' αὐτὴν πάντες οἱ συλλειτουργήσαντες ἀρχιερεῖς καὶ ὁ πατριάρχης φέροντες τὰς ἀρχιερατικὰς αὐτῶν στολάς, προπορευομένων λαμπάδων καὶ ἑξαπτερύγων καὶ τῆς λοιπῆς παρατάξεως, τῶν χορῶν ψαλλόντων τὸ **Χριστὸς ἀνέστη**, ἀνέρχονται εἰς τὸ Μ. Συνοδικόν, ἔνθα ψάλλεται ὁ πολυχρονισμὸς τοῦ πατριάρχου.

(**) Ἐν τῇ Μ. Ἐκκλησίᾳ περὶ τὴν γ' ὥραν τῆς ἡμέρας ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς ἔρχονται εἰς τὸ μέγα Συνοδικόν, ἔνθα ἐνδύονται τὰς ἀρχιερατικὰς αὐτῶν στολάς, παρισταμένων τῶν ἱερέων καὶ διακόνων, προενδεδυμένων ἤδη, ἅμα τῇ κρούσει τοῦ κώδωνος λαβόντων καιρόν, ἄρχονται δὲ οἱ χοροὶ ψάλλειν, καθ' ὃν καιρὸν ἐνδύονται ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς, τὸ Ἀναστάσεως ἡμέρα, ἀργόν· ἀκολούθως προπορευομένων τῶν λαμπαδούχων, τῶν ἑξαπτερύγων καὶ τοῦ πριμικηρίου, καὶ τῶν χορῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἅπασαν τὴν ἱερατικὴν στολὴν ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ· εἶτα ψάλλεται τὸ Χριστὸς ἀνέστη δεκάκις, τρὶς μὲν ἐν τῷ ἱερῷ βήματι παρὰ τοῦ ἱερέως, ἑξάκις δὲ ὑπὸ τῶν χορῶν μετὰ τῶν στίχων αὐτοῦ καὶ αὖθις παρὰ τοῦ ἱερέως (ὡς ἐν σελ. 313). Εἶτα μεγάλη συναπτή. Ἐκφώνησις· Ὅτι πρέπει.

Εἰς τὸ Κύριε ἐκέκραξα (ὅπερ ψάλλεται ἀργῶς, ὡς καὶ τὸ Κατευθυνθήτω) τὰ ἑπόμενα ϛ' στιχηρὰ ἀναστάσιμα.

Στίχος α'. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται, ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα ἐκ παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε· καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

**Στίχος β'.** Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας τῷ Σταυρῷ, ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε. Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.

**Στίχος γ'.** Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Σὺν ἀρχαγγέλοις ὑμνήσωμεν Χριστοῦ τὴν ἀνάστασιν· αὐτὸς γὰρ λυτρωτής ἐστι καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν· καὶ

ψαλλόντων τὸ Χριστὸς ἀνέστη, ἕπονται οἱ ἱερεῖς, οἱ ἀρχιερεῖς, οἱ διάκονοι μετὰ δικηροτρικήρων, καὶ μετ' αὐτοὺς ὁ πατριάρχης φέρων τὴν ῥάβδον καὶ τὸ ἱερὸν Εὐαγγέλιον καὶ περιστοιχούμενος ὑπὸ τῶν ἀνωτέρων ὀφφικιάλων τῆς Μ. Ἐκκλησίας, τῶν πρέσβεων τῶν ὀρθοδόξων κρατῶν καὶ τῶν λογάδων τοῦ γένους. Ἐν τοιαύτῃ παρατάξει κατέρχονται εἰς τὸν ναόν, ὁ δὲ πατριάρχης μετὰ τῶν ἀρχιερέων, τῶν ἱερέων καὶ διακόνων εἰσέρχεται κατ' εὐθεῖαν εἰς τὸ ἱερόν, καὶ λαβὼν θυμιατὸν θυμιᾷ πρὸ τῆς ἁγίας Τραπέζης· εἶτα ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ· καὶ ψάλλει τὸ Χριστὸς ἀνέστη· Εἶτα μεγάλη συναπτή, καὶ ὁ πατριάρχης τὴν ἐκφώνησιν· Ὅτι πρέπει σοι πᾶσα δόξα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἐν δόξῃ φοβερᾷ καὶ κραταιᾷ δυνάμει πάλιν ἔρχεται κρῖναι κόσμον, ὃν ἔπλασεν.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Στίχος δ'. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα Ἄγγελος ἐκήρυξε δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί· Δεῦτε ἴδετε ὅπου ἔκειτο ὁ Κύριος· ἀνέστη γὰρ, καθὼς εἶπεν, ὡς παντοδύναμος· διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον. Ζωοδότα Χριστὲ, ἐλέησον ἡμᾶς.

Στίχος ε'. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

Ἐν τῷ Σταυρῷ σου κατήργησας τὴν τοῦ ξύλου κατάραν· ἐν τῇ ταφῇ σου ἐνέκρωσας τοῦ θανάτου τὸ κράτος· ἐν δὲ τῇ ἐγέρσει σου ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων. Διὰ τοῦτό σοι βοῶμεν. Εὐεργέτα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στίχος ϛ'. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ἠνοίγησάν σοι, Κύριε, φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν· πύλας γὰρ χαλκᾶς συνέτριψας καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας.

Δόξα.

Τὸν σωτήριον ὕμνον ᾄδοντες ἐκ στομάτων ἀναμέλψωμεν· Δεῦτε πάντες ἐν οἴκῳ Κυρίου προσπέσωμεν λέγοντες· Ὁ ἐπὶ ξύλου σταυρωθεὶς καὶ ἐκ νεκρῶν ἀναστὰς, καὶ ὢν ἐν κόλποις τοῦ Πατρὸς, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

Καὶ νῦν. **Θεοτόκιον.**

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ἔτεκες καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρὸς, δικαιοσύνης ἀνέτειλεν ἥλιος, ἀντὶ Μωϋσέως, Χριστὸς, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τὸ Φῶς ἱλαρὸν, ὁλόκληρον ἔξω. Εἶτα ψάλλομεν τρὶς τὸ ἑπόμενον εἰς ἦχον βαρύν·

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχος α'. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Στίχος β'. Καὶ εἶπα· νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Στίχος γ'. Ἐμνήσθην τῶν ἔργων Κυρίου.

Μετὰ δὲ τὸ προκείμενον ἐκφωνεῖ ὁ ἱερεύς·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Σοφία· ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Πρόσχωμεν.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι, διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ· ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. (*)

---

## Παράφρασις εἰς ἡρωϊκὸν ἑξάμετρον.
## (Ποίημα Νικοδήμου μοναχοῦ ἁγιορείτου).

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

Ὄφρα κε νωϊτέροισιν ἐν οὔασι πάγχυ βάλωμεν,
Θέσφατον, ἱμερόεσσαν, ἁγνὴν, Εὐάγγελον ὄππα,
Μειλίξωμεν Ἄνακτα Θεὸν, μέγαν, οὐρανίωνα.

(Σοφία, ὀρθοί)

Ἰθυγενεῖς· Σοφίη. Εὐαγγελίοιο κλύωμεν.

(Ἐκ τοῦ κατὰ Ἰωάννην)

Ἐκ δ' ἄρ' Ἰωάννοιο, τόδ' ἔστι βροντογόνοιο.

(Πρόσχωμεν)

Ἀλλ' ἄγετ' ἀτρεμέσι χρησμοὺς λεύσωμεν ὀπωπαῖς·
Εἰρήνη χαρίεσσ' ἐπ' ἀπείρονα δῆμον ἐσεῖται.

(Οὔσης ὀψίας)

Εὖτε δὴ ἠέλιος φαέθων ἐπὶ ἕσπερον ἦλθε,
Καὶ σκιόωντο ἀγυιαὶ, ἐπὶ χθονὶ πουλυβοτείρῃ.
Ἤματι ἐν πρώτῳ, ὅτε τύμβου ἆλτο Σαωτὴρ,
Κληϊσταὶ δὲ ἔσαν θυρίδες πυκινῶς ἀραρυῖαι,
Βλῆντο πάντες ὀχῆες, ἐϋσταθέος μεγάροιο·
Ἔνθα μαθηταὶ, ὁμοῦ τε ἀολλέες ἠγερέθοντο,

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ τὸ Εὐαγγέλιον τοῦτο ἀναγινώσκεται κατὰ περιόδους ἐπαναλαμβανομένας ὑπὸ τοῦ πατριάρχου, ἱσταμένου ἐν τῷ συνθρόνῳ, τῶν ἀρχιερέων, τῶν ἱερέων καὶ τῶν διακόνων εἰς διαφόρους γλώσσας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Μυρόμενοι θανάτῳ ἐπ' ἀεικέϊ Χριστοῦ ἄνακτος,
Καὶ χόλον ἀφραίνοντα ἰουδαίων τρομέοντες·
Ἤλυθε δὴ τότε Χριστὸς ἄναξ θεοειδέϊ μορφῇ,
Ἔστη δ' ἐν μεσσάτῳ ἀναφανδὸν, καὶ φάτο μῦθον·
Εἰρήνη ὑμῖν φίλη, ἡσυχίη τ' ἐρατεινή.
Ὡς εἰπὼν, ἐπέδειξεν ἑὴν πλευρὴν ἠδὲ χεῖρας.
Γήθησαν δὲ μαθηταὶ, ἐπεὶ ἴδον Εὐρυμέδοντα.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Τοὺς δ' αὖτις προσέειπεν Ἰησοῦς οὐρανοφοίτης·
Εἰρήνη ὑμῖν φίλη, ἡσυχίη τ' ἐρατεινή·
Ὡς ἐμὲ πέμψε Πατὴρ, ὃς ὑπέρτατα δώματα ναίει,
Ὧδ' ἐγὼ ὑμέας ἐς χθόνα πέμπω εὐρυόδειαν.
Ὡς ἄρα φωνήσας, μύσταις ἔμπνευσ' ἀγορεύων·
Πνεῦμα δέχνυσθ' ἅγιον, φαεσίμβροτον, ὑψιθόωκον.
Ὧν μὲν ἀτασθαλίας θνητῶν ἀφέητ' ἐπὶ γαῖαν,
Τοῖσιν ἦ που ἀφίενται ἐπ' οὐρανὸν ἀστερόεντα·
Ὧν δ' ἄρ' ἐπεσβολίας ὑπερφιάλων κρατέητε,
Τοῖσιν ἀλυκτοπέδῃς κεῖναι σθεναρῇς κρατέονται.

(Θωμᾶς δὲ)

Θωμᾶς δ', ᾧ ἐπίκλησις ἅπασι δίδυμος ἀκούειν,
Οὐχ ἅμα τοῖς ἄλλοις μύσταις πρὶν ὁμώροφος ἔσκε,
Ἰησοῦς ὅτ' ἔβη εἴσω μελάθροιο ἑταίρων.
Ἴαχον οὖν ἄλλοι τούτῳ ἐρίηρες ἑταῖροι·
Εἴδομεν ὀφθαλμοῖσιν Ἰησοῦν παγκρατέοντα.
Τοὺς δ' ἀπαμειβομένους προσέφησεν ἀτειρής·
Ἴχνια ἢν μὴ ἴδω μετὰ χείρεσιν ἡλοτορήτης,
Δάκτυλον ἐμβάλω τε ἐκείνου ἔνδοθι χειρὸς,
Χεῖρά τ' ἐμὴν εἴσω πλευρῆς οἱ ῥεῖα βαλούμην.
Οὔποτε ὑμετέροισι λόγοις κεφαλῇ κατανεύσω.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΣΛΑΒΟΡΡΩΣΣΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

И осподобится намъ слышанію святаго Евангелія, Господа Бога молимъ. Премудростъ, прости, услышимъ святаго Евангелія. Миръ всѣмъ.

Отъ Іоанна святаго Евангелія чтеніе. Вонмемъ

Ἠ ὀσποδόπητησια νὰμ σλή-σανιγιου σβιατάγο Εὐάγγελιγια, Γόσποδα Μπόγα μόλημ. Πρεμού-δροστ, πρόστη, οὐσλήσημ σβια-τάγο Εὐάγγελιγια. Μίρ σβιεμ. Ὄτ Ἰωάννα σβιατάγο Εὐάγγελιγια· τστένιγε. Βόνμεμ.

(Οὔσης ὀψίας)

Сущу познѣ въ день той во едину отъ субботъ, и дверемъ затвореннымъ идѣже бяху ученицы Его собрани, страха ради Іудейска; пріиде Іисусъ и ста посредѣ и глагола имъ: миръ вамъ.

И сіе рекъ, показа имъ руцѣ и нозѣ и ребра своя; возрадовашася убо ученицы, видѣвше Господа.

Σούσστσου πόζδιε βδὲν τόϊ βὸ ἐδίνο ὄτσουπότ, ἱ δβέρεμ ζατβορέν-νιμ, Ἰδιέζζιε μπιάχου οὐτσσενι-τσὴ γιεγὼ σόπρανι, στράχα ράδι Ἰουδέϊσκα· πριίδε Ἰησοῦς, ἱστὰ ποσρεδιὲ ἱγλαγόλα ἴμ, Μὶρ βάμ.

Ἰσιγιὲ ρὲκ, ποκαζὰ ἱμ ρούτζιε ἰνόζιε ἱρέμπρα σβογιά. Βοζράδο-βασσασια οὔμπο οὐτσενιτσὴ, βί-διεβσε Γόσποδα.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Рече же имъ Іисусъ паки: миръ вамъ; якоже посла Мя Отецъ, и Азъ посылаю вы.

И сіе рекъ, дуну, и глагола имъ: пріимите Духъ Святъ. Имже отпустите грѣхи, отпустятся имъ, и имже держите, держатся.

Ρετσὲ ζιὲ ἱμ Ἰησοῦς πάκι: Μὶρ βάμ: Γιάκοζιε ποσλὰ μγιὰ Ὀτὲτς ἰὰζ ποσηλάγιου βή. Ἰσιγὲ ρὲκ δούνου, Γκλαγκόλα ἴμ· πριΐμίτε δοὺχ Σφιὰτ, ἴμζιε ὀτπουστιτὲ, γρεχὶ ὀτπούστιάτσια ἴμ. Ἰ ἴμζιε δερζιτὲ, δερζιάτσια.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

(Θωμᾶς δὲ)

Ѳома же единъ отъ обоюнадесяте, глаголемый близнецъ, не бѣ ту съ ними, егда пріиде Іисусъ.

Глаголаху же ему друзіи ученицы: видѣхомъ Господа. Онъ же рече имъ: аще не вижу на руку Его язвы гвоздинныя, и вложу перста моего въ язвы гвоздинныя, и вложу руку мою въ ребра Его, не иму вѣры.

Θωμᾶ ζιὲ γεδὴν ὂτ ὀμπογιουνάδεσιατε, γκλαγκόλεμηϊ μπλιζνὲτς, νὲ πιὲ τοὺ σνίμι, γιεγδὰ πριίδε Ἰησοῦς. Γκλαγκόλαχου ζιὲ γεμοὺ δρουζίι Οὐτσσενιτσή: βίδιεχομ Γόσποδα.

Ὄνζιε ρετσὲ ἴμ, ἄστσε νεβίζιου ναρουκοὺ γιεγὸ γιάζβη γβοζδὴννιγια, ἰβλοζιοῦ, πέρστα μογιεγὼ βγιάζβη γβοζδὴννιγια, ἰβλοζιοῦ ροὺκου μογιοῦ βρέμκρα γιεγώ, νὲ ἴμοῦ βιέρη.

---

## ΣΕΡΒΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

И осподобитися намъ слышанію святаго Евангелія, Господа Бога молимъ, Премудрость, прости, услышимъ святаго Евангелія. Миръ всѣмъ. Отъ Іоанна святаго Евангелія чтеніе. Вонмемъ.

Ἡ ὀσποδόπητησια νὰμ σλήσιανιου σβιατάγο Εὐάγγελιγια, Γόσποδα Μπόγα μόλημ. Πρεμούδροστ, πρόστη, οὐσλήσημ σβιατάγο Εὐάγγελιγια. Μίρ σβιεμ. Ὄτ Ἰωάννα σβιατάγο. Ἐβαγγέλιγια τστένιγε. Βόνμεμ.

(Οὔσης ὀψίας)

Кад би у вече онај први дан недјеље, и врата бијаху затворена, гдје се бијаху ученици његови скупили од страха Јеврејскога, дође И-

Κὰδ μπὶ οὺ βέτσε ὄναϊ πρβὴ δὰν νέδιελιε, ἡ βράτα μπιάχου ζατβορένα γτγιὲ σὲ μπιάχου οὐτσενιτσὴ νιέγκοβη σκούπηλη ὄδ στράχα Γιεβράισκογκα, ντόγκε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

сус и стаде на сриједу и рече им: мир вам.

Ἰησοῦς ἠστάδε νασριγιέδου ἠ ρετσὲ ἤμ: μὴρ βάμ.

И ово рекавши показа им руке и ребра своја. Онда се ученици обрадоваше видјевши Господа.

Ἠ ὄβο ρεκάβση ποκαζὰ ἤμ ρούκε ἠ ρέμπρα σβογιά. Ὄνδα σὲ ούτσενιτσὴ ὀμπραδοβάσιε βηδιεβσὴ Γόσποδα.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

А Исус им рече опет: мир вам, као што отац посла мене, и ја шиљем вас.

Ἀ Ἰσοῦς ἤμ ρετσὲ ὄπετ μὴρ βάμ· καὸ στὸ ὀτὰτς ποσλὰ μενὲ ἠ γιὰ σήλιεμ βάς.

А ово рекавши дуну, и рече им: примите Дух свети.

Ἀ ὄβο ρεκάβση δούνου ἠ ρετσὲ ἤμ: πρημῆτε Δούχ σβέτη.

Којима опростите гријехе, опростиће им се; и којима задржите, задржаће се.

Κοήμα ὀπρόστητε γκριέχιε, ὀπρόστηκε ἠμ σὲ, ἠ κόημα ζαδρζητὲ, ζαδρζακὲ σέ.

(Θωμᾶς δὲ)

А Тома, који се зове близанац, један од дванаесторице, не бјеше ондје с њима кад дође Исус.

Ἀ Τόμα κοὴ σὲ ζόβε Μπληζάνατς, γεδὰν ὂδ ντβαναεστόρητσε, νὲ μπιέσιε ὄνδιε σ' νήμα κὰδ δόγκε Ἰσοῦς.

А други му ученици говораху: видјесмо Господа; а он им рече: док не видим на рукама његовијем рана од клина, и не метнем прста својега у ране од клина, и не метнем руке своје у ребра његова, не ћу вјеровати.

Ἀ δρούγη μου οὐτσενιτσὴ γκοβόραχου: βήδγεσμο Γόσποδα. Ἀν ὄν ἤμ ρετσὲ ντὸκ νὲ βήδημ νὰ ρούκαμε νιέγκοβηγγεμ ράνα ὀδ κλήνα, ἠ νὲ μέτνεμ πρστὰ σβογέγκα οὐ ράνε ὀδ κλήνα, ἠ νὲ μέτνεμ ρούκε σβογὲ οὐ ρέμπρα νιέγκοβα νὲ κιοὺ βγεροβάτη.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΡΟΥΜΑΝΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Şi pentru ca să ne învrednicim noĭ a asculta sfînta Evangelie, pre Domnul Dumnedeul nostru să rugăm.*

Σὶ πεντροὺ κὴ σηνὴ ἰνβρεντνιτσὶμ νόϊα ἀσκουλτὰ σήντα Εὐαγγέλιε πρὲ Ντόμνουλ Ντουμνεντέουλ νόστρου σὴ ρουγγήμ.

*Cu înţelepciune, drepţi, să ascultăm sânta Evangelie.*

Ἰντσελεπσιούνε ντρεάπτσι σὴ ἀσκουλτὰμ σήντα Εὐαγγέλιε.

*Pace tuturor.*

Πάτσε τουτουρόρ.

*D n s nta Evangelie e la Ion cetire,*

*Să luăm aminte.*

Ντὶν σήντα Εὐαγγέλιε ντὲ λὰ Ἰὼν τσετίρε, σὴ λουὰμ ἀμίντε.

(Οὔσης ὀψίας)

Fiind sară în ḑiua aceea, întru una din Sâmbete, şi uşile fiind încuete, unde eraŭ ucenicii adunaţĭ pentru frica Iudeilor, venit-a Iisus şi a stătut în mijloc, şi a ḑis lor: Pace voue!

Φιὶντ σάρη, ἢν ζίουα ἀτζέια, ἤντρ οὔνα ντὶν Σήμπητη, σὶ οὔσιλε φιὶντ ἰν κούετε, οὔντη ἰερὰ οὐτσενίτσιι ἀδουνήτσι, πέντρου φρίκα Ἰουντέϊλορ, βενίτα Ἰησοῦς σὶ ἀ στατοὺτ ἰν μίζλοκ σὶ ἄζις λὸρ, πάτσε βόου.

Şi acésta ḑicênd, a arătat lor mânile şi cósta sa; şi ucenicii s'aŭ bucurat vĕḑênd pre Domnul.

Σὶ ἀτσιάστα ζικὴντ ἀ ἀρατάτ λορ, μήϊνιλε σὶ κόστα σὰ, σὶ οὐτσενίτσιι, σαουμπουκκουρὰτ, βηζὴντ πρὲ Ντόμνουλ.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Deci a ḑis lor Iisus iarăşĭ: Pace voue. Precum m'a trimis pre mine Tatăl şi eŭ trimit pre voĭ. Şi acésta ḑicênd, a suflat şi a ḑis lor: Luaţĭ Duh s nt. Cărora veţĭ erta pĕca-

Δέτσι ἀ ζίςλορ Ἰησοῦς ἰαράσι· Πάτσε βοϋΐ. Πρεκοὺμ μ' ἀτρουμὶς πρεμίνε τάτηλ, σὶ ἰεοὺ πριμὶτ πρὲ βόϊ. Σὶ ἀτσιάστα ζηκὴντ, ἀ σουφλὰτ σὶ ἀζίςλορ. Λουάτσι Δοὺχ Σήντ. Κήρορα βὲτς ἰερτὰ πηκά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

tele, se vor erta lor; şi cărora le veţĭ ţinea, vor fi ţinute.

τελε σὴ βὸρ γιερτάλορ, σὶ κήρουρα λὲ βὲτς τσίνια βὸρ φὶ τσινούτε.

(Θωμᾶς δὲ)

Iar Toma, unul din ceĭ doĭ-spre-ḑece, care se ḑice geamăn, nu era cu dînşiĭ cînd a venit Iisus. Deci aŭ ḑis luĭ ceĭalalţĭ ucenicĭ: Am vĕḑut pre Domnul, Iar el le a ḑis lor: De nu voiŭ vedea în mânile luĭ semnul cuelor, şi de nu voiŭ pune degetul meŭ în semnul cuelor, şi de nu voiŭ pune mâna mea în cósta luĭ, nu voiŭ crede.

Γιὰρ Τόωα, οὔνουλ ντὶν τσεῑ ντοϊσπρεζέτσι κάρε σὴ ζήτσε Τζιάμην, νοὺ γιερὰ κοὺ ντίνσιϊ, κὴντ ἀ βενὶτ Ἰησοῦς. Ντὲτς ἄου ζὶς λούϊ, τσεϊαλάλτσι οὐτσενίτσι ἄμ βηζοὺτ πρὲ Ντόμνουλ, Γιὰρ γιὲλ λέ-ἄ ζὶς λόρ, ντὲ νοὺ βόϊου βεδεὰ ἤν μήϊνιλε λούϊ σέμνουλ κούελορ, σὶ ντὲ νοὺ βόγιου πούνε ντεζιέτουλ μέου ἠν σέμνουλ κούγιελορ, σὶ ντὲ νούβοιου πούνε μήνα μέα ἠν κόστα λούϊ νοὺ βόιου κρέντε.

---

## ΑΛΒΑΝΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

Λιούττιγι ἰ μπέϊμε Ζότητ, περιντίσε σάνε τὲ νὰ ἀξιώσηγε κὲ τὲ μπάμε βὲς οὐγγὶλ ἐ σιγντερούκρε.

Μὲ μεντσέρη τὲ ντρέκτε.

Τὰ ντιγγιόγεμε οὐγγὶλ ἐ σιγντερούρε.

Πάκι ἐ ντασιούρε μπὲ τὲ γκίθε.

Πὰς σὲ κεντούκριτ οὐγγίλιτ τὲ Ζότιτ σινγιάν.

Περπάρα ἐ κέμη.

(Οὔσης ὀψίας)

Δάγιμ πρέμα σὶ οὐ ἐρ ἀτὲ δίτε τὲ σιούνε, κὲ ἴς δίτα ἐπάρε ἐγιὰβ βέσε κὲ κένε ἐδὲ διούερτεμ πιούλτουρε, νὲκ κένεμ πλέδουρε μαθητὴγγ τὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

γκὰ φρίκα ἐ Ἰουδαίνεβετ, ἔρδι Ἰησοῦϊ ἐ κεντερύγι ντὲ μὲς τὲ τιούρε, ἐ οὐ θότε πάκι ἐδασουρὶ μπιγιού. Ἐ σὶ οὐ θὰ κετὸ οὐ δερτέου δούαρνε, ἐδὲ πρίνν' ἔτιγι, οὐ γκεζουάνε μαθητήγγτε σεπάνε Ζότνε.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Πιρσερὶ οὐ θότε Ἰησούγι ἀτιούρε πάκι ἐ δασουρὶ μπιγιοὺ σίνδερ κοὺρ μὲ δεργκύϊ μούα ἰμάτε οὐ τεργκόγγ ἐδὲ οὖνε γιοῦζε. Ἐ μὲ τὲ θένε κετὸ φρίγτι μπιτὰ, ἐ οὐ θότε, μέρνι φριούμε τὲ πὲ κουάρε, ἐκούγιτ τὲ γιαπάλι τὲ γένε τὲ πάϊβουρα.

(Θωμᾶς δὲ)

Θωμάϊ νὲ γκάτε διουμπεδιέτετε, κὲ κιούχεϊ πενιὰκ, σὶς πάσκε μετὰ κοὺρ ἔρδι Ἰησοῦϊ ἐ ἰθάνε μαθητήγγ τὲ ἐτεγέρε, πάμε Ζότνε. Ἐ ἀ οὐ θότε ἀτιούρε, οὖνε πὰ πάρε δὲ δούαρτ ἐτιγὶ πλιάκετε ἐπερόναβετ, ἐ ζὲ βὲ γκίσιι νὲ τῆμ ντὲ βέντ τὲ περόναβετ, ἐ τὲ βὲ δόρενε ντὲ πρίνιε νὲ τῆγ νούκε πεσόγγ.

---

## ΑΡΑΒΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

| | |
|---|---|
| Μὶν ἐτζὶλ ἒν νεκοὺν μουσταχεκὶν λὶ ἰστιμαὰ χάζα ἰλεντζὴλ ἰλμουκαδδὲς μὶν ἰρρὲμπ ἐλλαχινὰ νατλούμπ. Μπὶ χίκμετεν μουστακίμετεν φελινέσμαα χάζα ἰλεντζὴλ ἰλμουκαδδές. | من اجل ان نكون مستحقين لا استماع هذا الا نجيل المقدس من الرب الهنا نطاب بحكمةً مستقيمةً فلنسمع هذا الانجيل المقدس |
| Ἔσσ σελὰμ λιτζεμί-ἄκουμ. | السلام لجميعكم |
| Φασλοὺν σερὶφ μὶν μπισαρὲτ ἰλ- | فصلٌ شريف من بشارة |

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

καδδὶς Γιουχάννα ἰλεντζιλῆ ἰλ-μπεσὶρ βὲλ-τελμὶζ ἰλτάχερ. Φελινάσγα.

القديس يوحنا الانجيلي البشير
و التلميذ الطاهر فلنصغي

(Οὔσης ὀψίας)

Λάμε κιανὲτ ἀσιγὲτ ζάλικελ-λιγιὸμ φὶ-ἀχαδὲλ-σιμποὺτ βὲλ-ἐμπουὰπ μουγλάκατουν χαὶθ κάνα ἰλτελαμὶζ μουζτεμιὶν χάουφεν μὶν ἐλγεχοὺντ ἰδ κὰντ τζαὰ γεσοὺ βεβακιφὰ φιλβὰστ βὲ κάλα λαχὼμ σελάμον-λακόμ.

لما كانت عشية ذلك اليوم
في احد السبوت والابواب مغلقة
حيث كان التلاميذ مجتمعين خوفاً
من اليهود اذ قد جا يسوع ووقف
في الوسط وقال لهم سلام لكم
فلما قال هذا اراهم يديه وجنبه
ففرح التلاميذ حين ابصروا الرب

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Φελέμμα κάλα χάδὰ ἀραχὶμ γεντεχὶ οὐατζεμπεχοὺ φεφάριχα ἰλτελαμὶζ χὶν ἀπσαροῦ ἰρρὲπ βὲ κάλια λαχὸμ εἶδὲν γεσοῦ σελάμουν-λακὸμ κέμα ἐρσελανὶ ἰλ ἀὰπ κεδάλικ ἄνα οὐρ σιλκόμ. Φελάμα κάλα χάδα ναφαχὰ βὲ κάλα λαχὸμ χούδου ροχιλκούδους μὲν τεραχτὸμ λαχοῦ χαταγιαχοῦ φελτουτρὰκ βὲ μὲν ἀμσὲ κτιμούχα ἀλέϊχι φελτουμσάν.

وقال لهم ايضاً يسوع
سلام لكم كما ارسلني الاب
كذلك انا ارسلكم
فلما قال هذا نفخ و قال
لهم خذوا روح القدس من
تركتم له خطاياه فلتترك له و من
امسكتموها عليه فلتمسك

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

(Θωμᾶς δὲ)

Φεέμμα Τούμα ἄχαδ ἰλ ἔθνα ἀσὲρ ἰλλεδὶ γ̥ιοεκὰλ λαχοῦ ἐλτόομ φελὲμ γ̥ιακοὺν μααχοὺμ χ̥ινὲ τζ̆ααγεσοῦ· φακάλα λάχ̥ου ἰλτελαμίζ ἰλ ἀχαροῦν ἰνναvὰ κὰδ ραάϊνα ἰρράπτ. Φακάλ̥ια λαχὸμ ἰν λὰμ ἀρὰ ἄθερ ἰλ μεσσαμὶρ φιγεδὲχ̥ βὲ ἰδάα ὀφπααί φὶ ρεσὴμ ἰλ μεσσαμὶρ βὲ ἰτζ̆ααὰλ γεδὶ φὶ τζ̆έμπιχ̥ι λήστου οὔμεν.

فاما توما احد الاثنى عشر
الذى يقال له التوأم فلم يكن معهم
حين جا يسوع فقال له التلامذ
الآخرون اننا قد رأينا الرب فقال
لهم ان لم ارا اثر المسامير فى يديه
واضع اصبعى فى رسم المسامير
واجعل يدى فى جنبه لست أؤمن

---

## ΤΟΥΡΚΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

Μουκατδδὲς ἰνδζ̆ιλὶ ἰσιτμεγὲ μουσταχ̥ὰκκ ὀλμαμὴζ ἰτζ̆οὺν Ράμπι-λ Ἀλλαχημηζὰ νιγ̥ιὰζ ἰδελίμ. Τογροὺ ἴλμιλε ἰνδζ̆ὶλ σεριφὶ διvλεγελίμ.

مقدس انجيلى ايشيتمكه مستحق
اولمه مز ايچون رب اللهمزى نياز
ايده لم طوغرى علمله انجيل شريفى
ديكليه لم

Δζούμλεγ̥ιε σοὺλχ̥ βὲ σελὰμ ὀλά.

جمله يه صلح وسلام اوله

Ἀζὶζ Ἰωάννησδεν τεελὶφ βὲ ἰνσὰ ὀλουνμοὺς μουκακδδὲς Εὐαγγέλιονουν κηραατηνὰ μεὶλ ἰδοὺπ κουλὰκ βερελίμ.

عزيز يوحنادن تأليف وانشا
اولنمش مقدس انجيلك قرأتنه ميل
ايدوب قولاق ويره لم

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

(Οὔσης ὀψίας)

Ὄλ γκιουνδέ, γιάνι χαφτανῆν πιριντζὶ γκιουνουνδὲ, ἀκσὰμ ὀλδούκτα, σαγιρτλερὶν δζέμ' ὀλδουκλαρῆ μαχαλὴν καπουλαρῆ δαχὴ Γιεχουδιλερὶν κορκουσουνδὰν καπαλῆ ὀλδουγοὺ χαλδὲ, Ἰσᾶ γκελοὺπ ὀρταδὰ δουραρὰκ, ἀνλαρὰ «σιζὲ σελαμὲτ ὀλσοῦν» δεδί.

اول كونده يعنى هفته نك برنجى كونده اقشام اولدقده شاكردلرك جمع اولدقلرى محلك قپولرى دخى يهوديلرك قورقوسندن قپالو اولديغى حالده عيسى كلوب اورتەده طورەرق انلره سزه سلامت اولسون ديدى

Βὲ μπουνοὺ σοϊλεδικτένσονρα, ἀνλαρὰ ἐλλερινὶ βὲ γιανινὶ γκιοστερδί. Ὄλ βακὴτ σαγιρτλὲρ ραμπὶ γκιορμέγιλε, μεσροὺρ ὀλδουλάρ.

وبونى سويلدكدنصكره انلره اللرينى و يانني كوستردى الوقت شاكردلر ربى كورمكله مسرور اولديلر

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Βὲ Ἰσᾶ γίνε ἀνλαρὰ «σιζὲ σελαμὲτ ὀλσοῦν· Πεδὲρ μπενὶ ἰρσὰλ ἐϊλεδιγὶ γκιμπὶ, μπὲν δαχὴ σιζὶ ἰρσὰλ ἰδέριμ» δεδί· βὲ μπουνοὺ σοϊλεδικτὲ, νέφζ ἰδοὺπ, ἀνλαρὰ «ροὺχ-οὺλ-κουδουσοὺ ἄλῃνῃζ·κιμ-

وعيسى ينه انلره سزه سلامت اولسون پدر بنى ارسال ايلديكى كبى بن دخى سزى ارسال ايدرم ديدى وبونى سويلدكده نفخ ايدوب انلره روح القدسى آلكز

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

λερὴν γκιουναχλαρηνὴ ἄφ' ἰδέρσενιζ, ἀνλαρὰ ἄφ' ὀλουνμοὺς ὀλοὺρ βὲ κιμλερινκινὶ τεβκὴφ ἰδέρσενιζ, τεβκὴφ ὀλουνμοὺς ὀλοὺρ» δεδί.

کیملرك كناهلرینی عفو ایدر
ایسه‌کز انلره عفو اولنمش اولور
وکیملرککینی توقیف ایدر ایسه‌کز
توقیف اولنمش اولور دیدی

(Θωμᾶς δὲ)

Ἔμμα ὃν ἰκιλερδὲν μπιρὶ ὀλοὺπ ἰκὶζ δινιλὲν Τωμᾶ, Ἰσανῆν γκελδιγὶ ζεμὰν, ἀνλαρὰ ἰλὲ μπεραμπὲρ δεγὶλ ἰδί.

اما اون ایکیلردن بری
اولوب ایکیز دنیلان توما عیسا-
نك کلدیکی زمان انلرایله برابر
دکل ایدی

Βὲ δίγκερ σαγιρτλὲρ ἀνὰ «ραμπὶ γκιορδοὺκ» δεδικλερινδὲ, ἀνλαρὰ «ἀνὴν ἐλλερινδὲ μηχλαρῆν ἐσερινὶ γκιοροὺπ, παρμαγημὴ μηχλαρὴν ἐσερινὲ κομάσαμ, ἐλλιμὶ δαχὴ γιαννηνὰ σοκμάσαμ, ἄσλα ἰνανμὰμ» δεδί.

و دیکر شاکردلر اکا
ربی کوردك دیدکلرنده انلره انك
اللرنده میخلرك اثرینی کوروب
پرماغمی میخلرك اثرینه قوماز
ایسه‌م اللمی دخی یانینه صوقماز
ایسه‌م اصلا اینانمام دیدی

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## ΛΑΤΙΝΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Et ut nos digne simus audatione Sancti Evangelii, Dominum Deum nostrum oremus.*
*Cum attentione recti.*
*Audiamus Sanctum Evangelium.*
*Pax omnibus.*
*E Sancto Evangelio secundum Ioannem lectio.*
*Animus advertamus.*

Ἔτ οὐτ νὸς δίγν σίμους ἀουδιτσιόνε σάνκτι Εὐαγγέλιι, Δόμινουμ Δέουμ νόστρουμ ὀρέμους.
Κοὺμ ἀτεντσιόνε ρέκτι.
Ἀουδιάμους σάνκτουμ Εὐαγγέλιουμ.
Πὰξ ὀμνιμπους.
Ἔ σάνκτο Εὐαγγέλιο σεκούντουμ Ἰωάννεμ λέξιο.
Ἄνιμους ἀδβερτάμους.

(Οὔσης ὀψίας)

Quum ergo vespera esset, die illo primo hebdomadis, et fores essent clausæ, illic ubi erant discipuli congregati propter metum Judæorum, venit Jesus, stetitque in medio ipsorum, et dixit eis: Pax vobis.

Κβοὺμ ἔργκο βέσπερα ἔσσετ, δίε ἴλλο πρίμο ἑβδόμαδις, ἐτ φόρες ἔσσεντ κλάουζαι, ἴλλικ οὖμπι ἔραντ διστσίπουλοι κογκρεγκάτι, πρόπτερ μέτουμ Γιουδαιόρουμ, βένιτ Γιέζους, στετίκβε ἰν μέδιο ἰψόρουμ, ἐτ δίξιτ ἔϊς: Πὰξ βόμπις.

Et quum hæc dixisset, ostendit eis manus ac latus suum. Gavisi sunt ergo discipuli, viso Domino.

Ἐτ κβοὺμ χαὶκ διξίσσετ, ὀστένδιτ ἔϊς μάνους ἀκ λάτους σούουμ. Γκαβίζοι σοὺντ ἔργκο διστσίπουλοι, βίζο Δόμινο.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Dicit autem eis iterum : Pax vobis; sicut misit me Pater, ita et ego mitto vos. Et quum hæc dixisset, afflavit eos ; et dixit eis : Accipite Spiritum Sanc-

Δίτσιτ ἄουτεμ ἔϊς ἴτερουμ: Πὰξ βόμπις. Σίκουτ μίζιτ μὲ Πάτερ, ἴτα ἐτ ἔγκω μίττω βός. Ἐτ κβοὺμ χαὶκ διξίσσετ, ἀφφλάβιτ ἔος· ἐτ δίξιτ ἔϊς: Ἀκτσίπιτε Σπίρι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

tum. Si quorum remiseritis peccata, remittuntur eis; si quorum retinue ritis, retenta sunt.

τουμ σάνκτουμ. Σὶ κβόρουμ ρεμιζέριτις πεκκάτα, ρεμιττούντουρ ἔϊς· σὶ κβόρουμ ρετινουέριτις, ρετέντα σούντ.

(Θωμᾶς δὲ)

Thomas autem, unus ex duodecim, qui dicitur Didymus, non erat cum eis, quando venerat Jesus. Dixerunt igitur ei alii discipuli : Vidimus Dominum.

Τόμας ἄουτεμ, οὔνους ἐξ δουόδετσιμ, κβὶ δίτσιτουρ Δίδυμους, νὸν ἔρατ κοὺμ ἔϊς, κβάνδο βένερατ Γιέζους. Διξέρουντ ἴγκιτουρ ἔι ἄλιοι διστσίπουλοι· Βίδιμους Δόμινουμ.

Ille vero dixit eis : Nisi videro in manibus ejus vestigium clavorum, et immisero digitum meum in vestigium clavorum, et immisero manum meam in latus ejus, nequaquam credam.

Ἴλλε βέρο δίξιτ ἔϊς· Νίζι βίδερω ἰν μάνιμπους ἔϊους βεστίγκιουμ κλαβόρουμ, ἐτ ἰμμίζερο δίγκιτουμ μέουμ ἰν βεστίγκιουμ κλαβόρουμ, ἐτ ἰμμίζερο μάνουμ μέαμ ἰν λάτους ἔϊους, νεκβάκβαμ κρέδαμ.

---

## ΓΑΛΛΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Prions le Seigneur de nous rendre dignes d'entendre le saint Evangile. Sagesse! levez-vous !*

*Écoutons le Saint Evangile.*

*La paix à tous.*

*Lecture de l'Évangile selon saint Jean. Soyons attentifs.*

Πριὸν λ' Σεγνιὲρ ντὲ νου ράντρ ντίνι ντ'άντάντρ λ'σαὶντ Εβανζίλ.

Σαζές! λεβὲ-βοῦ:

Ἐκουτὸν λ' σαὶντ Ἐβανζίλ.

Λὰ πὲζ ἀ τού.

Λεκτιοὺρ ντ' λ' Ἐβανζὶλ σελὸν σαὶν Ζάν.

Σοαγιόνζ ἀτταντίφ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

(Οὔσης ὀψίας)

Le soir de ce même jour, qui était le premier de la semaine, les portes du lieu, où les disciples étaient assemblés, étant fermées, parcequ'ils craignaient les Juifs, Jésus vint, et il fut là au milieu d'eux, et leur dit: La paix soit avec vous !

Λ' σοὰρ ντ' λὰ μὲμ ζιοὺρ, κὶ ἐταὶ λ' πρεμιὲ ντ' λὰ σμαὶν, λὲ πὸρτ ντοὺ λιὲ οὖ λε ντισσίπλζ ἐταίτ ἀσσαμπλέζ ἐτὰν φερμὲ, πὰρσκ' ἰλ κρενιὲ λε Ζιουΐφ, Ζεζοὺ βὲν, ἐ ἰλ φοὺ λὰ ὢ μιλιὲ ντὲ, ἐ λὲρ ντί: Λὰ παὶ σοὰτ ἀβὲκ βού.

Et quand il leur eut dit cela, il leur montra ses mains et son côté. Les disciples donc, voyant le Seigneur, eurent une grande joie.

'Ε κὰντ ἰλ λὲρ οὖ ντὶ σλὰ, ἰλ λὲρ μοντρὰ σὲ μαὶν ἐ σὸν κοτέ. Λὲ ντισσίπλ ντὸν βοαγιὰν λ' Σεγνιὲρ, οὖρ οὖν γκρὰντ ζιοά.

(Εἶπεν οὖν αὐτοῖς ὁ 'Ιησοῦς)

Il leur dit encore: La paix soit avec vous ! Comme mon Père m'a envoyé, je vous envoie aussi de même. Et quand il eut dit cela, il souffla sur eux, et leur dit : Recevez le Saint Esprit. Ceux, à qui vous pardonnerez les péchés, ils leur seront pardonnés; et ceux, à qui vous les retiendrez, ils leur seront retenus.

'Ιλ λὲρ ντίτ ἀνκόρ: Λὰ παὶ σοάτ ἀβὲκ βού! Κόμμ μὸν Πὲρ μ'ἀ ἀνβοαγὲ, ζι' βοὺζ ἀνβοὰ ὡσεὶ ντ' μέμ. 'Ε κὰντ ἰλ οὖ ντί σλα, ἰλ σουφφλὰ σιοὺρ ἔ, ἐ λὲρ ντί: Ρεσ'βὲ λ' Σαὶντ 'Εσπρί· Σέζ ἀ κὶ βοὺ παρντονερὲ λὲ πεσιὲ, ἰλ σερὸν παρντονέ. 'Ε σέζ ἀ κὶ βοὺ λὲ ρετιαντρὲ, ἰλ λὲρ σερὸν ρετνιού.

(Θωμᾶς δὲ)

Or, Thomas, l'un des douze, appelé Didyme, n'était pas avec eux lorsque Jésus y était venu. Les autres disciples lui dirent donc : Nous avons vu le Seigneur.

Ὂρ Τομᾶ, λ' ἓν ντὲ ντοὺζ, ἀππ'λὲ Ντιδὺμ, ν' ἐταὶ πὰζ ἀβὲκ ἔ λόρσκ Ζιεζοῦ ἰ ἐτὲ [illegible]νού. Λὲζ ὦτρ ντισσίπλ λουΐ ντὶρ ντόν: Νοὺζ ἀβὸν βιοὺ λὲ Σεγνιέρ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Mais il leur dit: Si je ne vois la marque des clous dans ses mains. et si je ne mets mon doigt dans la marque des clous, et si je ne mets ma main dans son côté, je ne croirai point.

Μαῖζ ἰλ λὲρ ντί: Σὶ ζ̮ι' νὲ βοὰ λὰ μὰρκ ντὲ κλοὺ ντὰν σὲ μαίν; ὲ σὶ ζ̮ι' ν' μὲ μὰ μαὶν ντὰν σὸν κοτὲ, ζ̮ι' ν' κροαρὲ ποάν.

## ΙΤΑΛΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Pregiamo Iddio nostro Signore afinche si degna favoririr di ascoltare il santo Vangelo.*

*Con attenzione rettenti.*

*Ascoliamo il santo Vangelo.*

*Pace a touti.*

*La lettura è del Vangelo di santo Giovanni. Siamo attesi.*

Πρεγκ̮ιάμο Ἰδδίο νόστρο Σιν̮ιόρε ἀφίνκε σὶ ντέν̮ια φαβοριρὶρ ντὶ ἀσκολτάρε ἰλ σάντο Βαντζέλο.

Κὸν ἀττεντζιόνε ρεττέντι.

Ἀσκολτιάμο ἰλ σάντο Βαντζέλο.

Πάτσε ἀ τούτι.

Λὰ λετούρα ἒ ντὲλ Βαντζέλο ντὶ σάντο Σζοβάννη.

Σ̮ιάμο ἀττέζι.

(Οὔσης ὀψίας)

Quando fu sera, in quell'istesso giorno, ch'era il primo della settimana, ed essendo le porte del luogo, ove erano raunati i discepoli, serrate per tema de' Giudei, Gesù venne, e si presento quivi, in mezzo, e disse loro: Pace a voi.

E detto questo, mostro loro le sue mani, e il costato. I discepoli, adunque, veduto il Signore, si rallegrarono.

Κουάννto φοὺ σέρα, ἰν κουὲλλ' ἰστέσσο τζ̮ιόρνο, κ' ἔρα ἰλ πρίμο ντέλλα σεττιμάνα, ἔδ ἐσσέννto λὲ πόρτε ντὲλ λουόγκο, ὄβε ἔρανο ραουνάτι ἰ ντιστσέπολοι, σεράτε πὲρ τέμα ντὲ Τζουντέοι, Τζεζοῦ βέννε, ὲ σὶ πρεζεντὸ κουΐβὶ, ἰν μέτζο, ὲ ντίσσε λόρο, Πάτσε ἀ βόϊ.

Ἐ, ντέττο κουέστο, μοστρὸ λόρο λὲ σοῦε μάνι, ὲ ἰλ κοστάτο. Ἰ ντιστσέπολοι, ἀδούνκουε, βεδούτο ἰλ Σιν̮ιόρε, σὶ ραλλεγκράρονο.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

E Gesù di nuovo disse loro: Pace a voi! come il Padre mi ha mandato, così vi mando io. E, detto questo, soffiò loro nel viso, e disse loro Ricevete lo Spirito Santo; a cui voi avrete rimessi i peccati, saran rimessi; ed a cui li avrete ritenuti, saran ritenuti.

Ἐ Τζεζοῦ ντὶ νουόβο ντίσσε λόρο· Πάτσε ἀ βόϊ· κόμε ἰλ Πάδρε μὶ ἀ μανδάτο, κοζὶ βὶ μάνδο ἴο· ἔ, ντέττο κουέστο, σοφφλὸ λόρο νὲλ βίζο, ὲ ντίσσε λόρο· Ριτσεβέτε λὸ Σπίριτο Σάντο· ἀ κοόϊ βόϊ ἀβρέτε ριμέσσι ἰ πεκκάτι, σαρὰν ριμέσσι· ἔδ ἀ κούϊ λὶ ἀβρέτε ρι-ε-νυύτι.

(Θωμᾶς δὲ)

Or Toma, deto Didimo, l'un de'dodici, non era con loro, quando Gesù venne Gli altri discepoli adunque gli dissero: Noi abbiamo veduto il Signore.

Ὄρ Τομᾶ, ντέττο Ντίδιμο, λ' οὖν ντὲ ντόδιτσι, νὸν ἔρα κὸν λόρο, κουάνδο Τζεζοῦ βέννε. Λὶ ἄλτρι ντιστσέπολοι ἀδούνκουε λὶ ντίσσερο· Νόϊ ἀμπιάμο βεδούτο ἰλ Σινȷόρε.

Ma egli disse loro: Se io non veggo nelle sue mani il segnal de'chiodi; e se non metto il ditto nel segnal de'chiodi, e la mano nel suo costato, io non lo crederò.

Μὰ ἔλλι ντίσσε λόρο· Σὲ ἴο νὸν βέγγο νέλλε σούε μάνι ἰλ σενȷὰλ ντὲ κιόδι, ὲ σὲ νὸν μέττο ἰλ ντίττο νὲλ σενȷὰλ ντὲ κιόδι, ὲ λὰ μάνο νὲλ σούο κοστάτο, ἴο νὸν λὸ κρεδερό.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

# ΓΕΡΜΑΝΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Um das heilige Evangelium würdig zu hœren, lasst uns unserem Her Gott flehentlich bitten.*

Οὔμ ντὰς χάϊλιγε Εὐαγγέλιουμ βύρντιχ τσοὺ χέρεν, λάσστ οὔνς οὔνσερεμ Χὲρν Γκὸτ φλέεντλιχ μπίττεν.

*Weisheit; aufrecht lasst uns das heilige Evangelium hœren.*

Βάϊσχαϊτ· ἀουφρὲχτ λὰσστ οὔνς ντὰς χάϊλιγε Εὐαγγέλιουμ χέρεν.

*Friede allen.*

Φρίντε ἄλλεν.

*Die zu Vorlesen bestimmte Perikope, ist aus dem Johannis Evangelium entnomen.*

Ντὶ τσοὺ Φορλέζεν μπεστίμτε Περικόπε ἴστ ἄους ντὲμ Γͺοχάνις Εὐαγγέλιουμ ἐντνόμεν.

*Seien wir aufmerksam.*

Σάϊεν βὶρ ἀουφμέρκσαμ.

(Οὔσης ὀψίας)

Am Abend desselbigen Sabbaths, da die Jünger versammelt und die Thüren verschlossen waren, aus Furcht vor den Juden, kam Jesus, und trat mitten ein, und spricht zu ihnen : Friede sei mit euch !

Ἄμ Ἄμπεντ ντεσέλμπιγεν Σάμπατς, ντὰ ντὶ Γͺούγγερ φερζάμελτ, οὔντ ντὶ Τύρεν φερσλόσεν βάρεν, ἄους φούρχτ φὸρ ντὲν Γͺούντεν, κὰμ Γͺέζους, οὔντ τρὰτ μίττεν ἄϊν, οὔντ σπρίχτ τσοὺ ἴνεν· Φρίντε ζάϊ μὶτ ὄϊχ.

Und als er das sagte, zeigte er ihnen die Hænde und seine Seite. Da wurden die Jünger froh, dass sie den Herrn sahen.

Οὔντ ἄλς ἐρ ντὰς ζάγτε, τσάϊχτε ἐρ ἴνεν ντὶ Χένδε οὔντ ζάϊνε Σάϊτε. Ντὰ βούρδεν ντὶ Γͺούγγερ φρὸ, ντὰς ζὶ ντὲν Χὲρν ζάεν.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Da sprach Jesus abermal zu ihnen: Friede sei mit euch ! Gleichwie mich der Vater gesandt hat : so sende ich euch. Und da er das sagte blies er

Ντὰ σπρὰχ Γͺέζους ἄμπερμαλ τσοὺ ἴνεν· φρίντε ζάϊ μὶτ ὄϊχ! Γλάϊχβι μὶχ ντὲρ Φάτερ γκεζὰντ χὰτ, σὸ ζένδε ἴχ ὄϊχ. Οὔντ ντὰ ἐρ ντὰς ζάγτε, μπλὶζ ἐρ ζὶ ἂν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

sie an, und spricht zu ihnen: Nehmet hin den heiligen Geist! Welchen ihr die Sünden erlasset, denen sind sie erlassen; und welchen ihr sie behaltet, denen sind sie behalten.

οὖντ σπρἰχτ τσοὺ ἴνεν: Νέμετ χὶν ντὲν χάϊλιγεν Γκάϊστ. Βέλχεν ἴρ ντὶ Σύνδεν ἐρλάσετ, ντένεν ζίντ ζὶ ἐρλάσεν· οὖντ βέλχεν ἴρ ζὶ μπεχάλτετ, ντένεν ζίντ ζὶ μπεχάλτεν.

(Θωμᾶς δὲ)

Thomas aber, der Zwœlfen einer, der da heisst Zwilling, war nicht bei ihnen, da Jesus kam. Da sagten die andern Jünger zu ihm: Wir haben den Herrn gesehen.

Τώμας ἄμπερ, ντὲρ Τσβέλφεν ἄϊνερ, ντὲρ ντὰ χάϊστ Τσβίλιγγ, βὰρ νίχτ μπάϊ ἴνεν, ντὰ Γιέζους κάμ. Ντὰ ζάγτεν ντὶ ἄνδερν Γιούγγερ τσοὺ ἴμ: Βὶρ χάμπεν ντὲν Χὲρν γκεζέεν.

Er aber sprach zu ihnen: Es sei denn, das ich in seinen Hænden sehe die Nægelmahle, und lege meinen Finger in die Nægelmahle, und lege meine Hand iu seine Seite, will ich es nicht glauben.

Ἔρ ἄμπερ σπρὰχ τσοὺ ἴνεν· Ἔς ζάϊ ντὲν, ντὰς ἴχ ἲν ζάϊνεν Χένδεν ζέε δὶ Νεγελμάλε, οὖντ λέγε μάϊνεν φίγγερ ἴν ντὶ Νεγελμάλε, οὖντ λέγε μάϊνε Χὰντ ἴν ζάϊνε σάϊτε, βὶλ ἴχ ἕς νὶχτ κλάουμπεν.

---

## ΑΓΓΛΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Let us prey God our Lord to make us worthy to hear the holy Gospel. Wisdom; upright let us hear the holy Gospel.*

Λὲτ ἂς πρέϋ Γκὸτ, ἄουαρ Λὸρδ τοὺ μέϊκ ἄς γουέρθυ τοὺ χίαρ δὴ χόλυ Γκόσπελ.

Γουΐσδωμ· Ἀπράϊτ· Λὲτ ἂς χίαρ δὴ χόλυ Γκόσπελ.

*Peace to all.*

Πὶς τοὺ ὤλ.

*The reading for to day is*

Δὴ ρήντιγκ φὸρ τοὺ Ντέϋ ἴς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

*of the Gospel of saint John. Let us be attentive.*

ὄβ δὴ Γκόσπελ ὄφ σέντ Τζών. Λὲτ ἄς μπὴ ἀτέντηβ.

(Οὔσης ὀψίας)

Then the same day at evening, being the first day of the week when the doors were shut, where the disciples were assembled for fear of the Jews, came Jesus and stood in the midst, and saith unto them: Peace be unto you.

Δὲν δὴ σέϊμ ντέϋ ἄτ ἤβνιγκ, μπίηγκ δὴ φέρστ ντέϋ ὄβ δὴ γουΐκ, χουὲν δὴ ντώρς ουέαρ σάτ ουέαρ δὴ ντισάϊπλς οὐὲρ σέμπλετ φὸρ φίαρ ὄβ δὴ Τζούς, κέϊμ Τζίζας ἔντ στούντ ἴν δὴ μήδστ ἔντ σὲθ ἄντο δέμ: Πὶς μπὴ ἄντο γιού.

And when he had sa said, he shewed unto them his hands and his side. Then were the disciples glad, when they saw the Lord.

Ἄντ χουὲν χὴ χὲδ σὸ σὲδ, χὶ σόουδ ἄντο δὲμ χὶς χὲντς ἔντ χὶς σάϊδ. Δὲν οὐὲρ δὴ ντισάϊπλς γκλὰδ, χουὲν δέϋ σόω δὴ Λόρδ.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

Then said Jesus to them again, Peace be unto you: as my Father hath sent me, even so send I you. And when he had said this, he breathed on them, and saith unto them, Receieve ye the Holy Ghost: Whosesoever sins ye remit, they are remitted unto them; and whosesoever sins ye retain, they are retained.

Δὲν σὲδ Τζίζας τοὺ δὲμ ἀγκέϊν: Πὶς μπὴ ἄντο γιού· ἔς μπάϊ Φάδερ χὲδ σέντ μί, ἴδν σὸ σέντ Ἄϊ γιού. Ἔντ χουὲν χὴ χὲδ σὲδ δὶς, χὴ μπρίηδτ ὄν δὲμ, ἔντ σὲθ ἄντο δὲμ, Ρισήβ γὺ δὴ Χόλυ Γκόστ· Χούσο-ουέβερ σὶνς γὺ ρημὶτ, δέϋ ἄρ ρημίτεδ ἄντο δέμ· ἔντ χουσο-ουέβερ σὶνς γὺ ρητέιν, δέϋ ἄρ ρητέϊνεδ.

(Θωμᾶς δὲ)

But Thomas, one of the twelve, called Didymus, was not with them when Jesus ca-

Μπὰτ Τόμας, οὐὰν ὄβ δὴ τουὲλβ, κὸλδ Ννίντιμας, οὐὸς νὸτ ουΐδ δὲμ, χουὲν Τζίζας κέϊμ. Δὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

me. The other disciples therefore said unto him, we have seen the Lord.

But he said unto them, Except I shall see in his hands the print of the nails, and put my finger into the print of the mails, and thrust my hand into his side, I will not believe.

άδερ ντισάϊπλς δεαρφὸρ σὲδ ἄντο χίμ: Οὐΐ χὲβ σὴν δὴ Λόρδ.

Μπὰτ χὴ σὲδ ἄντο δέμ: Ἐξὲπτ Ἄϊ σὰλ σὴ ἰν χὶς χὲντς δὴ πρίντ ὄβ δὴ νέϊλς ἔντ ποὺτ μάϊ φίγκαρ ἴντο δὴ πρὶντ ὄβ δὴ νέϊλς, ἔντ τράστ μάϊ χὲντ ἴντο χὶς σάϊδ, Ἄϊ γουΐλ νὸτ μπιλίβ.

---

## ΑΡΜΕΝΙΣΤΙ

(Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι)

*Եւ վասն արժանանալոյ զմեզ լսելոյ սրբոյ Աւետարանի զՏէ-րըն զԱստուած մեր աղաչես-ցուք .*

Γ̔ιὲβ βάσην ἀρζ̔αναναλὸ ζμὲζ λησελὸ σήρπο ἀβεδαρανὶ ζδέριν ζασδαβάτς μὲρ ἀγατσεστσούκ.

*Իմաստութիւն օրթի .*

Ἰμασδουτ̔ιοὺν ἐρτί.

*Լուարուք սրբոյ Աւետարանը .*

Λουβαροὺκ σηρπὸ ἀβεδαρανί.

*Խաղաղութիւն ամենեցուն .*

Χαγαγουτ̔ιοὺν ἀμενετσούν.

*Սրբոյ Աւետարանիս Յիսուսի Քրիստոսի որ ըստ Յովհաննու .*

Σήρπο ἀβεδαρανὶς χισουσὶ Κριστοσί, φὸρ ἦστ Χοβχάννου.

*Պռօսխումէ .*

Πρόσχουμε.

(Οὔσης ὀψίας)

*Եւ էր երեկոյ 'ի միաշաբաթւոջ աւուրն, եւ դրօք փակելովք ուր էին աշակերտքն ժողովեալ վասն ահին Հրէից, եկն Յիսուս եւ եկաց 'ի մէջ նոցա, եւ ասէ ցնոսա, Ողջոյն ընդ ձեզ :*

Γ̔ιὲβ ἐρ γερεγκὸ ἰ μιασαπατβότς ἀβοὺρν, γὲβ τρὸκ παγκελὸβχ οὺρ ἐῒν ἀσσακέρδγκιν ζογοβ̔ιὰλ βάσιν ἀχὶν χιρεΐτς, γέγκιν Χισοῦς γὲβ γεγκὰτς ἰ μιτσὶ νοτσά, γὲβ ἀσὲ τσινοσά, Βοχτσοὺν ἰντσές.

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

*Իբրեւ զայս ասաց՝ եցոյց նոցա ըզձեռսն եւ զկողս իւր․ եւ խնդացին աշակերտքն իբրեւ տեսին զՏէր։*

Ἴπρεϐ ζάϊς ἀσσὰτς γετσοὺτς νοτσὰ ἴζτσέρσν γὲϐ ἴζκογοσȷούρ. Γὲϐ χινδατσὶν ἀσσακέρδγκν ἰπρὲϐ δεσὶν ἴζ Δέρ.

(Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς)

*Ասէ ցնոսա դարձեալ, Ողջոյն ընդ ձեզ, որպէս առաքեաց զիս Հայր իմ, եւ ես առաքեմ զձեզ։ Եւ զայս իբրեւ ասաց՝ փչեաց ՚ի նոսա եւ ասէ, Առէք Հոգի Սուրբ․ Եթէ ումեք թողուցուք զմեղս՝ թողեալ լիցի նոցա․ եթէ զուրուք ունիցիք՝ կալեալ լիցի։*

Ἀσὲ τσινοσὰ τάρτσιαλ, Βοχτσοὺ ἰνδ τσὲς, βορμπὲς ἀρακȷὰτς ζὶς χάϊρ ἴμ, γὲϐ γὲς ἀρακὲμ ἴζτσέζ. Γὲϐ ζάϊς ἰπρὲϐ ἀσσὰτς πιτσιὰτς ἰ νοσὰ γὲϐ ἀσσὲ, Ἀρὲκ Χοχὶ Σούρπ. Γετὲ οὐμὲκ τογουτσοὺκ ἴζμέγις τογȷὰλ λιτσὶ νοτσά· γετὲ ζουροὺκ οὐνιτσὶκ γκαλγȷὰλ λιτσί.

(Θωμᾶς δὲ)

*Իսկ Թովմաս մի յերկոտասանիցն անուանեալն Երկուորեակ ոչ էր ընդ նոսա՝ յորժամ եկն Յիսուս։ Ասէին ցնա այլ աշակերտքն, եթէ տեսաք զՏէր․*

Ἴσκ Τωμᾶς μὶ γεγορδασανίτσν ἀνϐανȷάλν Γερκϐοριὰκ βὸτς ἔρ ἴντ νοσὰ χόρζαμ γέγκν Χισοῦς. Ἀσσεὶν τσινὰ ἄϊλ ἀσσαγκέργκιν, γέτε Δεσὰκ ἴζ Δέρ.

*Եւ նա ասէ ցնոսա, եթէ ոչ տեսից ՚ի ձեռս նորա զնշան բեւեռացն, եւ արկից զմատունս իմ ՚ի տեղիս բեւեռացն, եւ մխեցից զձեռս իմ ՚ի կողս նորա, ոչ հաւատամ․*

Γὲϐ νὰ ἀσσὲ τσινοσὰ, Γετὲ βὸτς δεσίτς ἰ τσὲρς νορὰ ἴζνισὰν πεϐεράτσιν, γὲϐ ἀργκὶτς, ἴζμαδοὺνς ἰμ ἰ δεγὶς πεϐεράτσιν, γὲϐ μιχετσὶς ἰστσέρις ἰμ ἰ γκόγις νορὰ, βὸτς χαϐαδάμ.

---

## Μετὰ τὸ Εἰς πολλὰ ἔτη

Ἕπεται ἡ ἐκτενής, τὸ Εἴπωμεν πάντες· Καταξίωσον Κύριε· Πληρώσωμεν τὴν ἑσπερινὴν κτλ. Μετὰ δὲ τὴν ἐκφώνησιν, ψάλλεται τὸ ἑπόμενον:

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Ἀπόστιχον στιχηρόν. Ἦχος β'.

Ἡ ἀνάστασίς σου, Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα. Παντοδύναμε Κύριε, δόξα σοι.

Ἀκολούθως τὰ στιχηρά: Πάσχα ἱερὸν ἡμῖν σήμερον (σελ. 312).

Μετὰ τὸ Δόξα καὶ νῦν, τὸ Ἀναστάσεως ἡμέρα (*)· καὶ ἀπόλυσις, καθὼς ἐν τῇ λειτουργίᾳ.

Αἱ ὧραι δὲ, τὰ ἀπόδειπνα καὶ τὸ μεσονυκτικὸν ψάλλονται οὕτω: Χριστὸς ἀνέστη (τρίς). Ἀνάστασιν Χριστοῦ θεασάμενοι (τρὶς) (ὅρα σελ. 308). Προλαβοῦσαι τὸν ὄρθρον (σελ. 305). Εἰ καὶ ἐν τάφῳ κατῆλθες (σελ. 307).

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος ὄντως καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται λαμπρότερος, Χριστὲ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Καὶ νῦν.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

Τὸ Κύριε ἐλέησον μ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν

(*) Ἐν τῇ Μ. Ἐκκλησίᾳ, ψαλλομένου τοῦ Χριστὸς ἀνέστη, ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς ἐξέρχονται τοῦ ἱεροῦ καὶ ἀνέρχονται αὖθις εἰς τὸ μέγα Συνοδικὸν μετὰ τῆς αὐτῆς παρατάξεως, καὶ ἐκεῖ ποιεῖ τὴν ἀπόλυσιν, τῶν χορῶν ψαλλόντων, Τὸν δεσπότην καὶ ἀρχιερέα ἡμῶν. Ἐν ὅλῃ δὲ ταύτῃ τῇ Διακαινησίμῳ ἑβδομάδι, ἥτις ὡς μία λαμπροφόρος ἡμέρα λογίζεται, καταλύομεν εἰς πάντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

Χερουβίμ. Ὁ ἀναγνώστης· Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν.

Τρισσεύεται δὲ ἡ τοιαύτη ἀκολουθία ἔν τε τῷ μεσονυκτικῷ, ταῖς ὥραις καὶ τῷ ἀποδείπνῳ.

Μετὰ τὸ Δι' εὐχῶν, τὸ Χριστὸς ἀνέστη (τρὶς), τὸ Ἀναστὰς ὁ Ἰησοῦς, καὶ ἀπόλυσις μικρὰ μετὰ τοῦ Ὁ ἀναστὰς ἐκ νεκρῶν. Ἐν δὲ τῷ ἀποδείπνῳ, μετὰ τὸ Δι' εὐχῶν, λέγομεν καὶ τὴν ἑπομένην εὐχήν.

## ΕΥΧΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός. Ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. Τείχισον ἡμᾶς ἁγίοις ἀγγέλοις σου. Ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου. Περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου. Φρούρησον ἡμᾶς τῇ δυνάμει σου. Ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως, καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτὶ, τελείαν, ἁγίαν, εἰρηνικὴν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

Εἶτα Χριστὸς ἀνέστη (τρὶς), Ἀναστὰς ὁ Ἰησοῦς καὶ ἀπόλυσις.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

# ΜΟΥΣΙΚΟΝ
# ΠΑΡΑΡΤΗΜΑ

Τὸ παρὸν ὡς καὶ τὸ « Νῦν αἱ Δυνάμεις », ἐγράφησαν ὡς ψάλλονται ἀπαραλλάκτως ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ὑπὸ Κωνσταντίνου Κ. Κλάββα Α'. Δομεστίκου αὐτῆς.

Ἦχος λ/π Πα.




Ἕτερον Ἦχος λ/π ᾱ Πα.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




Ἦχος λ/π Πα.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

**Τὸ παρὸν Ἰωάννου τοῦ Κλαδᾶ.**

Ἦχος ꝗ ἐκ τοῦ Κε.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

## Ἀλληλουάριον ἀργόν. Μέλος ἀρχαῖον.

Ἦχος λ/π Νη.






ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




**Ἕτερον σύντομον μέλος τρίφωνον.**

Ἦχος Νη.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




**Έτερον σύντομον. Παρὰ Γρηγορίου Πρωτοψάλτου.**

Ἦχος ὁ αὐτός.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ.

Ἦχος λ/π [neume signs] Nη.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




**Ἕτερον σύντομον Γρηγορίου Πρωτοψάλτου.**

Ἦχος ὁ αὐτός.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




**Εἰς τὴν Ἔξοδον καὶ ἐπάνοδον τοῦ Ἐπιταφίου.**

**Παρὰ Γερμανοῦ νέων Πατρῶν.**

Ἦχος λ/π ᾳ Πα.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ




**Εἰς τὴν Λαμπροφόρον Ἀνάστασιν.**

**Παρὰ Χρυσάφου τοῦ νέου.**

Ἦχος ἃ Πα.




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας






ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




Κράτημα εἰς τὸ « Ἀναστάσεως ἡμέρα ».

**Πέτρου τοῦ Πελοποννησίου·**

Ἦχος ὁ αὐτὸς ἐκ τοῦ




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας




ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδας